# Démokritos

Fragmenta DK 68 B

ΔΗΜΟΚΡΙΤΟΥ ΗΘΙΚΑ

ΠΥΘΑΓΟΡΗΣ

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΣΟΦΟΥ ΔΙΑΘΕΣΕΩΣ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΑΙΔΟΥ [AB... ;].

**C** = Athénaios, Anthologium IV, 168b

Δημόκριτον δ᾿ Ἀβδηρῖται δημοσίαι κρίνοντες ὡς κατεφθαρκότα τὰ πατρῷια, ἐπειδὴ ἀναγνοὺς αὐτοῖς τὸν Μέγαν διάκοσμον καὶ τὰ Περὶ τῶν ἐν Ἅιδου εἶπεν εἰς ταῦτα ἀνηλωκέναι, ἀφείθη.

**B 1** = Proklos, In Platonis rem publicam II, 113, 6 Kroll

τὴν μὲν περὶ τῶν ἀποθανεῖν δοξάντων ἔπειτα ἀναβιούντων ἱστορίαν ἄλλοι τε πολλοὶ τῶν παλαιῶν ἤθροισαν καὶ Δημόκριτος ὁ φυσικὸς ἐν τοῖς Περὶ τοῦ Ἅιδου γράμμασιν. καὶ τὸν θαυμαστὸν ἐκεῖνον Κωλώτην, τὸν Πλάτωνος ἐχθρόν, Ἐπικούρειον ὄντα πάντως ἔδει [τὰ τοῦ] καθηγεμόνος τῶν Ἐπικούρου δ[ογμάτων] μὴ ἀγνοῆσαι μηδὲ ἀγνοήσαντα ζητεῖν, πῶς τὸν ἀποθανόντα πάλιν ἀναβιῶναι δυνατόν. οὐδὲ γὰρ ὁ θάνατος ἦν ἀπόσβεσις, ὡς ἔοικεν, τῆς συμπάσης ζωῆς τοῦ σώματος, ἀλλ᾿ ὑπὸ μὲν πληγῆς τινος ἴσως καὶ τραύματος παρεῖτο, τῆς δὲ ψυχῆς οἱ περὶ τὸν μυελὸν ἔμενον ἔτι δεσμοὶ κατερριζωμένοι καὶ ἡ καρδία τὸ ἐμπύρευμα τῆς ζωῆς εἶχεν ἐγκείμενον τῶι βάθει· καὶ τούτων μενόντων αὖθις ἀνεκτήσατο τὴν ἀπεσβηκυῖαν ζωὴν ἐπιτήδειον πρὸς τὴν ψύχωσιν γενόμενον.

**B 1a** /1 = Philodémos, De morte 29, 27 Mekler

τῆς δ᾽ αὖ σηπεδόνος ἔχεται κατὰ Δημόκριτον [καὶ] τὸ δυσωπεῖσθαι διὰ τὴν ὀσφ[ρ]αντ[ικ]ῶν τού[των φαν]τασ[ίαν] καὶ δυσμορφίας· καταφέρονται γὰρ ἐπὶ τοιοῦτο πάθος σκιαὶ τῶν μετὰ τῆς εὐσαρκίας καὶ τοῦ κάλλους ἀποθνησκόντων ...

**B 1a** /2 = Philodémos, De morte 30, 1 Mekler
καὶ παραπέμπουσιν, ὅτι πάντες ἅμα τοῖς ὡς Μίλων εὐσάρκοις ὀλίγου μὲν χρόνου σκελετοὶ γίνονται, τὸ δὲ πέρας εἰς τὰς πρώτας ἀναλύονται φύσεις· ὑπακουστέον δὲ δῆλον ὅτι τὰ τοῖς εἰρημένοις ἀνάλογα καὶ περὶ τῆς κακοχροίας καὶ συνόλως τῆς δυσμορφίας. κενότατον τοίνυν ἐστὶν τὸ λυπεῖσθαι προορωμένους τὴν οὐ πολυτελῆ ταφὴν καὶ περίβλεπτον, ἀλλὰ λιτὴν καὶ προστυχοῦσαν.

**B 1a** /3 = Philodémos, De morte 39, 9 Mekler
εἶθ᾽ ὅταν ἐναργὴς αὐτοῦ (τοῦ θανάτου) γένηται θεωρία, παράδοξος αὐτοῖς ὑποπίπτει· παρ᾽ ἣν αἰτίαν οὐδὲ διαθήκας ὑπομένοντες γράφεσθαι περικατάληπτοι γίνονται καὶ δίσσ᾽ ἐμφορεῖν ἀναγκάζονται κατὰ Δημόκριτον.

ΤΡΙΤΟΓΕΝΕΙΑ

**B 2** /1 = Etym. Orion. p. 153, 5
Τριτογένεια ἡ ᾽Αθηνᾶ κατὰ Δημόκριτον φρόνησις νομίζεται. γίνεται δὲ ἐκ τοῦ φρονεῖν τρία ταῦτα· βουλεύεσθαι καλῶς, λέγειν ἀναμαρτήτως καὶ πράττειν ἃ δεῖ.

**B 2** /2 = Schol. Genev. I, 111 Nic.
Δημόκριτος δὲ ἐτυμολογῶν τὸ ὄνομά [Τριτογένεια] φησιν, ὅτι ἀπὸ τῆς φρονήσεως τρία ταῦτα συμβαίνει· τὸ εὖ λογίζεσθαι, τὸ εὖ λέγειν καὶ τὸ πράττειν ἃ δεῖ.

ΠΕΡΙ ΑΝΔΡΑΓΑΘΙΑΣ ἢ ΠΕΡΙ ΑΡΕΤΗΣ.

ΑΜΑΛΘΕΙΗΣ ΚΕΡΑΣ.

ΠΕΡΙ ΕΥΘΥΜΙΗΣ ἢ ΕΥΕΣΤΩ.

**B 3** /1 = Plútarchos, De tranquillitate animi 2; 465c

Ὁ μὲν οὖν εἰπὼν ὅτι „δεῖ τὸν εὐθυμεῖσθαι μέλλοντα μὴ πολλὰ πρήσσειν μήτε ἰδίῃ μήτε ξυνῇ,“ πρῶτον μὲν ἡμῖν πολυτελῆ τὴν εὐθυμίαν καθίστησι, γινομένην ὤνιον ἀπραξίας·

**B 3** /2 = Stobaios, Anthologium IV, 39, 25 H.

τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πρήσσειν, μήτε ἰδίηι μήτε ξυνῆι, μηδὲ ἅσσ᾽ ἂν πράσσηι, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ πλέον ὑπηγεομένης τῶι δοκεῖν, κατατίθεσθαι, καὶ μὴ πλέω προσάπτεσθαι τῶν δυνατῶν. ἡ γὰρ εὐογκίη ἀσφαλέστερον τῆς μεγαλογκίης.

**B 4** = Kléméns Alexandrijský, Stromata II, 130,4-5

(4) ἀλλὰ καὶ οἱ ᾽Αβδηρῖται τέλος ὑπάρχειν διδάσκουσιν· Δημόκριτος μὲν ἐν τῶι περὶ τέλους τὴν εὐθυμίαν, ἣν καὶ εὐεστὼ προσηγόρευσεν. καὶ πολλάκις ἐπιλέγει· ‘τέρψις γὰρ καὶ ἀτερπίη οὖρος [τῶν συμφόρων καὶ τῶν ἀσυμφόρων’ (B 188) ὃ προκεῖσθαι τέλος τῶι βίωι τῶν ἀνθρώπων τῶν τε νέων καὶ] τῶν περιηκμακότων.

(5) ῾Εκαταῖος δὲ αὐτάρκειαν (73 A 4) καὶ δὴ ᾽Απολλόδοτος ὁ Κυζικηνὸς τὴν ψυχαγωγίαν (74 A 1) καθάπερ Ναυσιφάνης τὴν ἀκαταπληξίαν (75 B 3)· ταύτην γὰρ ἔφη ὑπὸ Δημοκρίτου ἀθαμβίην λέγεσθαι.

**B 4a**

ΥΠΟΜΝΗΜΑΤΩΝ ΗΘΙΚΩΝ [AB...?].

ΦΥΣΙΚΑ

ΜΕΓΑΣ ΔΙΑΚΟΣΜΟΣ [ΛΕΥΚΙΠΠΟΥ]

**B 4b** = Vol. Herc., Coll. alt. VIII, 58-62 fr. 1 (Crönert Kolotes S. 147)

γ]ράφων [ὅτι ....... τὰ] αὐτὰ πρότε[ρον εἴρηται ἐν] τῶι Με[γ]άλω[ι διακόσμω]ι, ὅν φασιν εἶνα[ι Λευκίππου.] κἀπ[ὶ] το[σ]οῦτο τὸ [τῶν ἄλλ]ων [ἰ]διοποιούμενος [ἐλέγχετ᾽ ο]ὐ μόνον ἐν τῶ[ι Μικρῶι δι]ακόσμωι τιθεὶ[ς ἃ κἀν τῶι] Με[γάλωι κεῖται] ...

Vol. Herc., Coll. alt. VIII, 58–62 fr. 2, 6

Δημόκριτ[ο]ς.

ΜΙΚΡΟΣ ΔΙΑΚΟΣΜΟΣ

**B 5** /1 = Diogenés Laertios, Vitae philosophorum IX, 41

γέγονε δὲ τοῖς χρόνοις, ὡς αὐτός φησιν ἐν τῶι Μικρῶι διακόσμωι, νέος κατὰ πρεσβύτην ᾽Αναξαγόραν, ἔτεσιν αὐτοῦ νεώτερος τετταράκοντα. συντετάχθαι δέ φησι τὸν Μικρὸν διάκοσμον ἔτεσιν ὕστερον τῆς ᾽Ιλίου ἁλώσεως τριάκοντα καὶ ἑπτακοσίοις.

**B 5** /2 = Diogenés Laertios, Vitae philosophorum IX, 34

Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῆι ἱστορίαι λέγειν Δημόκριτον περὶ ᾽Αναξαγόρου, ὡς οὐκ εἴησαν αὐτοῦ αἱ δόξαι αἵ τε περὶ ἡλίου καὶ σελήνης, ἀλλὰ ἀρχαῖαι, τὸν δὲ ὑφῃρῆσθαι· (35) διασύρειν τε αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ νοῦ, ἐχθρῶς ἔχοντα πρὸς αὐτόν, ὅτι δὴ μὴ προσήκατο αὐτόν.

**B 5** /3 = Diodóros, Bibliotheca historica I,7,1 - I,8,7

κατὰ γὰρ τὴν ἐξ ἀρχῆς τῶν ὅλων σύστασιν μίαν ἔχειν ἰδέαν οὐρανόν τε καὶ γῆν, μεμειγμένης αὐτῶν τῆς φύσεως· μετὰ δὲ ταῦτα διαστάντων τῶν σωμάτων ἀπ᾽ ἀλλήλων τὸν μὲν κόσμον περιλαβεῖν ἅπασαν τὴν ὁρωμένην ἐν αὐτῶι σύνταξιν, τὸν δ᾽ ἀέρα κινήσεως τυχεῖν συνεχοῦς καὶ τὸ μὲν πυρῶδες αὐτοῦ πρὸς τοὺς μετεωροτάτους τόπους συνδραμεῖν, ἀνωφεροῦς οὔσης τῆς τοιαύτης φύσεως διὰ τὴν κουφότητα· ἀφ᾽ ἧς αἰτίας τὸν μὲν ἥλιον καὶ τὸ λοιπὸν πλῆθος τῶν ἄστρων ἐναπολῃφθῆναι τῆι πάσηι δίνηι· τὸ δὲ ἰλυῶδες καὶ θολερὸν μετὰ τῆς τῶν ὑγρῶν συγκρίσεως ἐπὶ ταὐτὸ καταστῆναι διὰ τὸ βάρος· (I,7,2) εἰλούμενον δ᾽ ἐν ἑαυτῶι συνεχῶς καὶ συστρεφόμενον ἐκ μὲν τῶν ὑγρῶν τὴν θάλασσαν, ἐκ δὲ τῶν στερεμνιωτέρων ποιῆσαι τὴν γῆν πηλώδη καὶ παντελῶς ἁπαλήν. (I,7,3) ταύτην δὲ τὸ μὲν πρῶτον τοῦ περὶ τὸν ἥλιον πυρὸς καταλάμψαντος πῆξιν λαβεῖν, ἔπειτα διὰ τὴν θερμασίαν ἀναζυμουμένης τῆς ἐπιφανείας συνοιδῆσαί τινα τῶν ὑγρῶν κατὰ πολλοὺς τόπους, καὶ γενέσθαι περὶ αὐτὰ σηπεδόνας ὑμέσι λεπτοῖς περιεχομένας· ὅπερ ἐν τοῖς ἕλεσι καὶ τοῖς λιμνάζουσι τῶν τόπων ἔτι καὶ νῦν ὁρᾶσθαι γινόμενον, ἐπειδὰν τῆς χώρας κατεψυγμένης ἄφνω διάπυρος ὁ ἀὴρ γένηται μὴ λαβὼν τὴν μεταβολὴν ἐκ τοῦ κατ᾽ ὀλίγον. (I,7,4) ζωογονουμένων δὲ τῶν ὑγρῶν διὰ τῆς θερμασίας τὸν εἰρημένον τρόπον τὰς μὲν νύκτας λαμβάνειν αὐτίκα τὴν τροφὴν ἐκ τῆς πιπτούσης ἀπὸ τοῦ περιέχοντος ὀμίχλης, τὰς δ᾽ ἡμέρας ὑπὸ τοῦ καύματος στερεοῦσθαι· τὸ δ᾽ ἔσχατον τῶν κυοφορουμένων τὴν τελείαν αὔξησιν λαμβανόντων καὶ τῶν ὑμένων διακαυθέντων τε καὶ περιρραγέντων ἀναφυῆναι παντοδαποὺς τύπους ζώιων· (I,7,5) τούτων δὲ τὰ μὲν πλείστης θερμασίας κεκοινωνηκότα πρὸς τοὺς μετεώρους τόπους ἀπελθεῖν γενόμενα πτηνά, τὰ δὲ γεώδους ἀντεχόμενα συγκρίσεως ἐν τῆι τῶν ἑρπετῶν καὶ τῶν ἄλλων τῶν ἐπιγείων τάξει καταριθμηθῆναι, τὰ δὲ φύσεως ὑγρᾶς μάλιστα μετειληφότα πρὸς τὸν ὁμογενῆ τόπον συνδραμεῖν, ὀνομασθέντα πλωτά. τὴν δὲ γῆν ἀεὶ μᾶλλον στερεουμένην ὑπό τε τοῦ περὶ τὸν ἥλιον πυρὸς καὶ τῶν πνευμάτων τὸ τελευταῖον μηκέτι δύνασθαι μηδὲν τῶν

μειζόνων ζωογονεῖν, ἀλλ᾽ ἐκ τῆς πρὸς ἄλληλα μίξεως ἕκαστα γεννᾶσθαι τῶν ἐμψύχων.

(I,8,1) καὶ περὶ μὲν τῆς πρώτης τῶν ὅλων γενέσεως τοιαῦτα παρειλήφαμεν, τοὺς δὲ ἐξ ἀρχῆς γεννηθέντας τῶν ἀνθρώπων φασὶν ἐν ἀτάκτωι καὶ θηριώδει βίωι καθεστῶτας σποράδην ἐπὶ τὰς νομὰς ἐξιέναι καὶ προσφέρεσθαι τῆς τε βοτάνης τὴν προσηνεστάτην καὶ τοὺς αὐτομάτους ἀπὸ τῶν δένδρων καρπούς. (I,8,2) καὶ πολεμουμένους μὲν ὑπὸ τῶν θηρίων ἀλλήλοις βοηθεῖν ὑπὸ τοῦ συμφέροντος διδασκομένους, ἀθροιζομένους δὲ διὰ τὸν φόβον ἐπιγινώσκειν ἐκ τοῦ κατὰ μικρὸν τοὺς ἀλλήλων τύπους. (I,8,3) τῆς φωνῆς δ᾽ ἀσήμου καὶ συγκεχυμένης οὔσης ἐκ τοῦ κατ᾽ ὀλίγον διαρθροῦν τὰς λέξεις, καὶ πρὸς ἀλλήλους τιθέντας σύμβολα περὶ ἑκάστου τῶν ὑποκειμένων γνώριμον σφίσιν αὐτοῖς ποιῆσαι τὴν περὶ ἁπάντων ἑρμηνείαν. (I,8,4) τοιούτων δὲ συστημάτων γινομένων καθ᾽ ἅπασαν τὴν οἰκουμένην, οὐχ ὁμόφωνον πάντας ἔχειν τὴν διάλεκτον, ἑκάστων ὡς ἔτυχε συνταξάντων τὰς λέξεις· διὸ καὶ παντοίους τε ὑπάρξαι χαρακτῆρας διαλέκτων καὶ τὰ πρῶτα γενόμενα συστήματα τῶν ἁπάντων ἐθνῶν ἀρχέγονα γενέσθαι. (I,8,5) τοὺς οὖν πρώτους τῶν ἀνθρώπων μηδενὸς τῶν πρὸς βίον χρησίμων εὑρημένου ἐπιπόνως διάγειν, γυμνοὺς μὲν ἐσθῆτος ὄντας, οἰκήσεως τε καὶ πυρὸς ἀήθεις, τροφῆς δ᾽ ἡμέρου παντελῶς ἀνεννοήτους. (I,8,6) καὶ γὰρ τὴν συγκομιδὴν τῆς ἀγρίας τροφῆς ἀγνοοῦντας μηδεμίαν τῶν καρπῶν εἰς τὰς ἐνδείας ποιεῖσθαι παράθεσιν· διὸ καὶ πολλοὺς αὐτῶν ἀπόλλυσθαι κατὰ τοὺς χειμῶνας διά τε τὸ ψῦχος καὶ τὴν σπάνιν τῆς τροφῆς. (I,8,7) ἐκ δὲ τούτου κατ᾽ ὀλίγον ὑπὸ τῆς πείρας διδασκομένους εἴς τε τὰ σπήλαια καταφεύγειν ἐν τῶι χειμῶνι καὶ τῶν καρπῶν τοὺς φυλάττεσθαι δυναμένους ἀποτίθεσθαι. γνωσθέντος δὲ τοῦ πυρὸς καὶ τῶν ἄλλων τῶν χρησίμων κατὰ μικρὸν καὶ τὰς τέχνας εὑρεθῆναι καὶ τἆλλα τὰ δυνάμενα τὸν κοινὸν βίον ὠφελῆσαι. καθόλου γὰρ πάντων τὴν χρείαν αὐτὴν διδάσκαλον γενέσθαι τοῖς ἀνθρώποις, ὑφηγουμένην οἰκείως τὴν ἑκάστου μάθησιν εὐφυεῖ ζώιωι καὶ συνεργοὺς ἔχοντι πρὸς ἅπαντα χεῖρας καὶ λόγον καὶ ψυχῆς ἀγχίνοιαν.

**B 5** /4 = Hermippos (Ióannés Catrares), De astrolog. II, 1, 4-13; p. 33, 15 Kroll

πρῶτον δὲ τάς τε ὑπερκοσμίους τε καὶ ἐγκοσμίους δυνάμεις συστησάμενος, εἶθ᾽ οὕτως οὐρανόν τε καὶ γῆν πλάνητάς τε καὶ τοὺς ἀπλανεῖς τῶν ἀστέρων δημιουργεῖ μήτε χρόνου μήθ᾽ ἑτέρωθεν ὕλης προσδεηθείς· καὶ τούτων ἑκάστωι τὸν οἰκεῖον τόπον, ὡς ἐξ ἀρχῆς ὑπεθέμεθα, ἀποδοὺς κινεῖ τὴν προσήκουσαν κίνησιν. οὕτω δὴ οὐρανός τε καὶ οἱ λάνητες ἐναντίως τὴν ἄληκτον φορὰν ἤρξαντο φέρεσθαι. (**5**) γῆ δὲ (p. 34) τῶι ὕδατι συμμιγής, οὗ μὲν πλέον ὑπ᾽ αὐτοῦ ἐπιέζετο, βαθεῖά τε καὶ κοίλη ἐγένετο, οὗ δὲ οὐδὲν ἢ ὀλίγον ἐπῆν, τὰ ὄρη ἐλείπετο. (**6**) ἀλλ᾽ ἐπεὶ τὸ ὕδωρ ἐπὶ γῆς τὴν οἰκείαν χώραν ἐπέλαβεν, αὕτη δὲ διάβροχος οὖσα τὴν οἰκείαν μορφὴν ὑπὸ τοῦ ἡλίου προσβάλλοντος καὶ πρὸς τὸ ξηρότερον μεθιστάντος κατὰ μικρὸν ἀπελάμβανε, φύονται δὴ πρῶτον οὕτω δένδρα τε καὶ φυτὰ καί τινες ὑμένες ἐοικότες πομφόλυξιν, αἳ δὴ μεθ᾽ ἡμέραν μὲν ὑπὸ τοῦ ἡλίου ιαθερμαινόμεναι, νύκτωρ δὲ ὑπὸ τῆς σελήνης καὶ τῶν ἄλλων ἀστέρων περιθαλπόμενα χρόνωι διαρραγεῖσαι τὰ ζῶια ἀπέτεκον. (**7**) τούτων δὲ τὰ μὲν ἱκανὴν εἰληφότα πέψιν ἄρρενά τε καὶ θερμότερα γέγονε, τὰ δὲ τοὐναντίον ὑποστάντα ἐνδείαι θέρμης πρὸς τὸ θῆλυ μετεσκεύασται. (**8**) καὶ οὐδὲν θαυμαστὸν γῆν ὕδατι σύμμικτον συστήσασθαι τὴν ἀρχὴν ζῶιά τε καὶ φυτὰ κατὰ νοῦν τῶι δημιουργῶι· ἐν μὲν γὰρ τῶι ὕδατι συνέχεσθαι εἰκὸς πνεῦμα, ἐν δὲ τούτωι θερμότητα ψυχικήν, δηλοῦσι δὲ καὶ τὰ γινόμενα ζῶια ἐν τοῖς τῆς γῆς χηραμοῖς καὶ ἔτι τὰ ἀπὸ σήψεως· ἃ πάντα καίπερ οὕτω συστάντα θαυμασίαν ἐμφαίνει τὴν σφῶν αὐτῶν καθάπαξ διάπλασιν. (**9**) ἀλλ᾽ οὐδὲ μὴν οὐδὲ τοῦτ᾽ οἶμαι ἀπορήσαι τις ἄν, εἰ μὴ καὶ νῦν οὕτω συνίστασθαι δύναιτο· οὔτε γὰρ ἡ γῆ ἔτι ὁμοίως ἂν συνανακραθείη τῶι ὕδατι, οὔθ᾽ οἱ ἀστέρες ἐν τοῖς αὐτοῖς συνέλθοιεν σχήμασι. (**10**) τὸ γὰρ γίνεσθαί πη μέχρι τοῦ νῦν, ὡς λόγος αἱρεῖ, παραλείπω· πλὴν ὥσπερ τοὐνδόσιμον ἐξ ἐκείνου παραλαβοῦσα ζῶια μὲν μέγεθος ἔχοντα οὐκέτι φύειν οἵα τ᾽ ἐστί, βοτάνας δὲ καὶ δένδρα καὶ φυτὰ καὶ καρπούς, καὶ τὰ ζῶια σχεδὸν νεκρωθέντα καὶ παγέντα τῶι ψύχει θέρμης τε καὶ ·ώμης ἐμπίπλαται. (**11**) τῶν δὲ ζώιων, ὡς καὶ

πρότερον εἴρηται, οὐχ ὁμοία τις ἡ κρᾶσις ἐγένετο· ἀλλ᾽ ὅσα μὲν πλείστου τοῦ γεώδους μετέσχε, φυτά τε καὶ δένδρα γέγονε πρὸς τῆι γῆι κάτω ἐρριζωμένην τὴν κεφαλὴν ἔχοντα, τοσοῦτον τῶν ἀναιμοτέρων καὶ ἀπόδων ζώιων διαφέροντα, παρ᾽ ὅσον ἐκεῖνα ἔξω γῆς ταύτην κινούμενα φέρουσιν· ὅσα δὲ τοῦ ὑγροῦ, τὴν καθ᾽ ὕδατος λῆξιν ἠσπάσαντο, ἐπίσης ἐκείνοις σχεδὸν διακείμενα. (**12**) οἷς δὲ τοῦ γεώδους καὶ θερμοῦ μᾶλλον μέτεστι, ταῦτα χερσαῖα ἂν εἴη· καὶ ὅσα δὲ τοῦ ἀερώδους καὶ θερμοῦ μετέσχε μᾶλλον, πτηνά, τὰ μὲν εὐθὺ τοῦ ὅλου σώματος, τὰ δ᾽ ὑπὲρ αὐτὸ τὴν κεφαλὴν ἴσχοντα, κατὰ λόγον τῆς αὐτῶν κράσεως. (**13**) καὶ τούτων μᾶλλον ὁ ἄνθρωπος μετασχὼν θερμοῦ φαίνεται καθαρωτέρας οὔσης τῆς ὕλης, ἀφ᾽ ἧς τὸ σῶμά οἱ συνέστη, καὶ δεκτικῆς [μᾶλλον] τοῦ θερμοῦ· ὥστε δι᾽ αὐτὸ τοῦτο καὶ μόνος τῶν ἄλλων ζώιων γίνεται τὸ σχῆμα ὀρθὸς καὶ πρὸς ὀλίγον γῆς ἅπτεται· ἐρρύη δέ τι καὶ θειότερον εἰς αὐτόν, καθ᾽ ὃ νοῦ καὶ λόγου καὶ διανοίας μετέσχε καὶ τὰ ὄντα ἀνηρευνήσατο.

**B 5** /5 = Tzetzés, Schol. in Hesiod. (Gaisford, Poet. gr. min. III, 58)
φασὶν Ἕλληνες ὅσοι τὸν κόσμον γεννητὸν εἶναι λέγουσιν, ὅτι μετὰ τὸ διαρραγῆναι τὸ ἔρεβος καὶ τὸν ἀέρα συστῆναι καὶ ὑποστῆναι τὴν γῆν πηλώδη καὶ παντελῶς ἁπαλὴν σηπεδονώδεις καὶ πομφολυγώδεις ὑμένας ἐκ ταύτης ἀναδοθῆναι· ὧν ὑπὸ τοῦ ἡλίου θερμαινομένων ἡμέρας, νυκτὸς δὲ τρεφομένων ταῖς σεληναίαις ὑγρότησιν καὶ μετὰ τὴν αὔξησιν ἐκραγέντων ἀνθρώπους συνέβη γενέσθαι καὶ παντοίων ζώιων ἰδέας πρὸς τὴν στοιχειακὴν ἐπικράτειαν, τὴν ὑδατώδη φημὶ καὶ πυρώδη καὶ γεώδη καὶ ἀερώδη. κατεξικμασθείσης δὲ τῆς γῆς ὑφ᾽ ἡλίου καὶ μηκέτι γεννᾶν δυναμένης ἐξ ἀλληλογονίας φασὶ τὴν γέννησιν γενέσθαι. ὅτι δὲ ζῶια γεννᾶν οἶδεν ἡ γῆ, δεικνύουσι πολλαχόθεν καὶ ἐκ τῶν ἐν Θηβαΐδι τῆι Αἰγυπτίαι γεννωμένων μυῶν μετὰ τὴν τοῦ Νείλου τῆς ἀναβάσεως ὑποχώρησιν. οἱ τότε δὲ τῶν ἀνθρώπων ἁπλότητος ὄντες καὶ ἀπειρίας ἀνάμεστοι οὐδεμίαν οὔτε τέχνην οὔτε γεωργίαν ἐπίσταντο οὔτ᾽ ἄλλο οὐδέν, οὔτε ὅ τι ἐστὶ νόσος ἢ θάνατος ἐπεγίνωσκον,

ἀλλ᾽ ὡς ἐπὶ κοῖτον ἐπὶ τὴν γῆν πίπτοντες ἀπέψυχον οὐκ εἰδότες ὃ πάσχουσι· φιλαλληλίαν δὲ μόνον ἀσκοῦντες ἀγελαῖον διέζων τὸν βίον δίκην ποιμνίων ἐπὶ νομὰς ἐξιόντες καὶ τοῖς ἀκροδρύοις κοινῶς καὶ τοῖς λαχάνοις τρεφόμενοι. καὶ ἀλλήλοις κατὰ θηρίων προσεβοήθουν καὶ συνεμάχοντο γυμνοὶ γυμναῖς ταῖς χερσί· γυμνοὶ δὲ οὕτω τυγχάνοντες καὶ σκέπης καὶ χρημάτων ὄντες ἐπιδεεῖς καὶ μηδὲ καρποὺς καὶ ἀκρόδρυα πρὸς ἀποθήκας συναγαγεῖν εἰδότες, ἀλλὰ μόνην ἐσθίοντες τροφὴν τὴν ἐφήμερον χειμῶνος γεγονότος πολλοὶ διεφθείροντο. λοιπὸν κατὰ μικρὸν τὴν ἀνάγκην σχόντες διδάσκαλον τὰ κοῖλα τῶν δένδρων καὶ τὰ δασέα καὶ τὰς σχισμὰς τῶν πετρῶν καὶ τὰ σπήλαια ὑπεδύοντο καὶ τοὺς καρπῶν δυναμένους φυλάττεσθαι μόλις γνωρίσαντες καὶ ἅπαξ αὐτοὺς συναγείραντες ἐν τοῖς σπηλαίοις ἐναπετίθεντο, καὶ τούτοις ἐτρέφοντο δι᾽ ὅλου ἐνιαυτοῦ. τοιαύτηι συζῶντες τῆι εἱμαρμένηι βίον ἁπλοῦν καὶ ἀπέριττον καὶ φιλάλληλον εἶχον δίχα πυρὸς ἐπιγνώσεως, οὐ βασιλεῖς, οὐκ ἄρχοντας, οὐ δεσπότας κεκτημένοι, οὐ στρατείας, οὐ βίας, οὐχ ἁρπαγὰς, ἀλλὰ φιλαλληλίαν μόνον καὶ τὸν ἐλεύθερον καὶ ἀπέριττον τοῦτον βίον ζῆν εἰδότες. ἐπεὶ δὲ προμηθέστεροι γεγονότες καὶ προβουλευτικώτεροι τὸ πῦρ ἐφεῦρον, καὶ θερμοτέρων, ἤγουν πανουργοτέρων, πραγμάτων ὠρέχθησαν καὶ τὴν τοῦ ἀπερίττου καὶ ἐλευθέρου βίου μετέστρεψαν διαγωγὴν καὶ εἱμαρμένην, δι᾽ ὧν ὁ κόσμος κοσμεῖται καὶ τὰ ἡδέα ἡμῖν καὶ τερπνὰ καὶ ἁβρότατα γίνεται δίκην γυναικὸς ἡμᾶς καταθέλγοντα καὶ τρυφερωτέρους ἀπεργαζόμενα, ὃ καλεῖ πλάσιν γυναικὸς ὁ ποιητής.

**B 5a - B 5i**

ΚΟΣΜΟΓΡΑΦΙΗ

ΠΕΡΙ ΤΩΝ ΠΛΑΝΗΤΩΝ

ΠΕΡΙ ΦΥΣΕΩΣ Α [ἢ ΠΕΡΙ ΚΟΣΜΟΥ ΦΥΣΙΟΣ]

ΠΕΡΙ ΦΥΣΕΩΣ Β ἢ ΠΕΡΙ ΑΝΘΡΩΠΟΥ ΦΥΣΙΟΣ ἢ ΠΕΡΙ ΣΑΡΚΟΣ

ΠΕΡΙ ΝΟΥ [ΛΕΥΚΙΠΠΟΥ]

ΠΕΡΙ ΑΙΣΘΗΣΙΩΝ

ΠΕΡΙ ΧΥΜΩΝ

ΠΕΡΙ ΧΡΟΩΝ

ΠΕΡΙ ΤΩΝ ΔΙΑΦΕΡΟΝΤΩΝ ΡΥΣΜΩΝ [ἢ ΠΕΡΙ ΙΔΕΩΝ]

**B 6** = Sextos Empeirikos, Adversus mathematicos VII, 137
ἐν δὲ τῶι Περὶ ἰδεῶν·

γιγνώσκειν τε χρή, φησίν, ἄνθρωπον τῶιδε τῶι κανόνι, ὅτι ἐτεῆς ἀπήλλακται.

**B 7** = Sextos Empeirikos, Adversus mathematicos VII, 137
καὶ πάλιν·

δηλοῖ μὲν δὴ καὶ οὗτος ὁ λόγος, ὅτι ἐτεῆι οὐδὲν ἴσμεν περὶ οὐδενός, ἀλλ᾿ ἐπιρυσμίη ἑκάστοισιν ἡ δόξις.

**B 8** = Sextos Empeirikos, Adversus mathematicos VII, 137
καὶ ἔτι·

καίτοι δῆλον ἔσται, ὅτι ἐτεῆι οἷον ἕκαστον γιγνώσκειν ἐν ἀπόρωι ἐστί.

**B 8a - 8b**
ΠΕΡΙ ΑΜΕΙΨΙΡΥΣΜΙΩΝ

ΚΡΑΤΥΝΤΗΡΙΑ

**B 9** = Sextos Empeirikos, Adversus mathematicos VII, 135-136
Δημόκριτος δὲ ὁτὲ μὲν ἀναιρεῖ τὰ φαινόμενα ταῖς αἰσθήσεσι καὶ τούτων λέγει μηδὲν φαίνεσθαι κατ᾿ ἀλήθειαν, ἀλλὰ μόνον κατὰ δόξαν, ἀληθὲς δὲ ἐν τοῖς οὖσιν ὑπάρχειν τὸ ἀτόμους εἶναι καὶ κενόν·

νόμωι γάρ φησι γλυκύ, (καὶ) νόμωι πικρόν, νόμωι θερμόν, νόμωι ψυχρόν, νόμωι χροιή, ἐτεῆι δὲ ἄτομα καὶ κενόν (= B 125) (ὅπερ [ἔστι]· νομίζεται μὲν εἶναι καὶ

δοξάζεται τὰ αἰσθητά, οὐκ ἔστι δὲ κατ᾿ ἀλήθειαν ταῦτα, ἀλλὰ τὰ ἄτομα μόνον καὶ τὸ κενόν).

(136) ἐν δὲ τοῖς Κρατυντηρίοις, καίπερ ὑπεσχημένος ταῖς αἰσθήσεσι τὸ κράτος τῆς πίστεως ἀναθεῖναι, οὐδὲν ἧττον εὑρίσκεται τούτων καταδικάζων. φησὶ γάρ·

ἡμεῖς δὲ τῶι μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν, μεταπῖπτον δὲ κατά τε σώματος διαθήκην καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων.

**B 10** = Sextos Empeirikos, Adversus mathematicos VII, 136

καὶ πάλιν φησίν·

ἐτεῆι μέν νυν ὅτι οἷον ἕκαστον ἔστιν [ἢ] οὐκ ἔστιν οὐ συνίεμεν, πολλαχῆι δεδήλωται.

**B 10a**

ΠΕΡΙ ΕΙΔΩΛΩΝ ἢ ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ (?)

**B 10b** /1

ΠΕΡΙ ΛΟΓΙΚΩΝ ἢ ΚΑΝΩΝ ΑΒΓ

**B 10b** /2 = Epikúros, Περὶ κριτηρίου ἢ Κανών (cfr. Diogenés Laertios X, 27) in: Sextos Empeirikos, Adversus mathematicos VIII, 327. Diels-Kranz:

οἱ μὲν δογματικοὶ τῶν φιλοσόφων ... τιθέασιν αὐτήν [τὴν ἀπόδειξιν], οἱ δὲ Ἐμπειρικοὶ ἀναιροῦσιν, τάχα δὲ καὶ Δημόκριτος· ἰσχυρῶς γὰρ αὐτῆι διὰ τῶν Κανόνων ἀντείρηκεν.

Sextos Empeirikos, Adversus mathematicos VIII, 327-328:

ὥστε εἰ μὲν τὸ πρόδηλον διὰ τὴν προειρημένην αἰτίαν ἐστὶ σύμφωνον, τὸ δὲ ἄδηλον διαπεφώνηται, δεήσει καὶ τὴν ἀπόδειξιν διαφωνουμένην ἄδηλον εἶναι. ὅτι δὲ τῷ ὄντι διαπεφώνηται, οὐ πολλῶν ἡμῖν λόγων δεῖ, βραχείας δέ τινος καὶ προχείρου ὑπομνήσεως, εἴ γε οἱ μὲν δογματικοὶ τῶν φιλοσόφων καὶ οἱ λογικοὶ τῶν ἰατρῶν

τιθέασιν αὐτήν, οἱ δὲ ἐμπειρικοὶ ἀναιροῦσιν, τάχα δὲ καὶ Δημόκριτος (ἰσχυρῶς γὰρ αὐτῇ διὰ τῶν Κανόνων ἀντείρηκεν), οἱ δὲ σκεπτικοὶ ἐν ἐποχῇ ταύτην ἐφύλαξαν, τῇ „μὴ μᾶλλον“ ἀποφάσει χρώμενοι. τῶν τε τιθέντων αὐτὴν πάλιν ἱκανή τις ἔστι διαφωνία, καθὼς προβαίνοντος τοῦ λόγου διδάξομεν. τοίνυν ἄδηλόν τί ἐστιν ἡ ἀπόδειξις.

**B 11** = Sextos Empeirikos, Adversus mathematicos VII, 138-139

ἐν δὲ τοῖς Κανόσι δύο φησὶν εἶναι γνώσεις·

τὴν μὲν διὰ τῶν αἰσθήσεων τὴν δὲ διὰ τῆς διανοίας, ὧν τὴν μὲν διὰ τῆς διανοίας γνησίην καλεῖ προσμαρτυρῶν αὐτῆι τὸ πιστὸν εἰς ἀληθείας κρίσιν, τὴν δὲ διὰ τῶν αἰσθήσεων σκοτίην ὀνομάζει ἀφαιρούμενος αὐτῆς τὸ πρὸς διάγνωσιν τοῦ ἀληθοῦς ἀπλανές.

(139) λέγει δὲ κατὰ λέξιν·

γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ σκοτίη· καὶ σκοτίης μὲν τάδε σύμπαντα, ὄψις, ἀκοή, ὀδμή, γεῦσις, ψαῦσις. ἡ δὲ γνησίη, ἀποκεκριμένη δὲ ταύτης. εἶτα προκρίνων τῆς σκοτίης τὴν γνησίην ἐπιφέρει λέγων·

ὅταν ἡ σκοτίη μηκέτι δύνηται μήτε ὁρῆν ἐπ᾽ ἔλαττον μήτε ἀκούειν μήτε ὀδμᾶσθαι μήτε γεύεσθαι μήτε ἐν τῆι ψαύσει αἰσθάνεσθαι, ἀλλ᾽ ἐπὶ λεπτότερον [δέηι ζητεῖν, τότε ἐπιγίνεται ἡ γνησίη ἅτε ὄργανον ἔχουσα τοῦ νῶσαι λεπτότερον].

**B 11** cfr = Hippokratés, De arte 11

ὅσα γὰρ τὴν τῶν ὀμμάτων ὄψιν ἐκφεύγει, ταῦτα τῆι τῆς γνώμης ὄψει κεκράτηται.

**B 11a - B 11r**

ΑΠΟΡΗΜΑΤΩΝ [ΑΒ... ?]

ΑΣΥΝΤΑΚΤΑ

ΑΙΤΙΑΙ ΟΥΡΑΝΙΑΙ

ΑΙΤΙΑΙ ΑΕΡΙΟΙ

ΑΙΤΙΑΙ ΕΠΙΠΕΔΟΙ

ΑΙΤΙΑΙ ΠΕΡΙ ΠΥΡΟΣ ΚΑΙ ΤΩΝ ΕΝ ΠΥΡΙ

ΑΙΤΙΑΙ ΠΕΡΙ ΦΩΝΩΝ

ΑΙΤΙΑΙ ΠΕΡΙ ΣΠΕΡΜΑΤΩΝ ΚΑΙ ΦΥΤΩΝ ΚΑΙ ΚΑΡΠΩΝ

ΑΙΤΙΑΙ ΠΕΡΙ ΖΩΙΩΝ ΑΒΓ

ΑΙΤΙΑΙ ΣΥΜΜΕΙΚΤΟΙ

ΠΕΡΙ ΤΗΣ ΛΙΘΟΥ

ΜΑΘΗΜΑΤΙΚΑ

ΠΕΡΙ ΔΙΑΦΟΡΗΣ ΓΝΩΜΗΣ ἢ ΠΕΡΙ ΨΑΥΣΙΟΣ ΚΥΚΛΟΥ

ΚΑΙ ΣΦΑΙΡΗΣ

ΠΕΡΙ ΓΕΩΜΕΤΡΙΗΣ

ΓΕΩΜΕΤΡΙΚΩΝ [ΑΒ ?]

ΑΡΙΘΜΟΙ

ΠΕΡΙ ΑΛΟΓΩΝ ΓΡΑΜΜΩΝ ΚΑΙ ΝΑΣΤΩΝ ΑΒ

ΕΚΠΕΤΑΣΜΑΤΑ

ΜΕΓΑΣ ΕΝΙΑΥΤΟΣ ἢ ΑΣΤΡΟΝΟΜΙΗ. ΠΑΡΑΠΗΓΜΑ

**B 12** = Censorinus 18, 8

est et Philolai annus (Filoláos A 22) ... et Democriti ex annis LXXXII cum intercalariis [mensibus)] perinde viginti octo.

**B 13** = Apollónios Dyskolos, De pronominibus, p. 65, 15 Schneid.

καὶ Φερεκύδης ἐν τῆι Θεολογίαι (Ferekýdés B 10) καὶ ἔτι Δημόκριτος, ἐν τοῖς Περὶ ἀστρονομίας καὶ ἐν τοῖς ὑπολειπομένοις συντάγμασι συνεχέστερον χρῶνται τῆι ἐμεῦ καὶ ἔτι τῆι ἐμέο.

**B 14, 1** /1 = Vitruvius IX, 6, 3

de naturalibus autem rebus Thales Milesius, Anaxagoras Clazomenius, Pythagoras Samius, Xenophanes Colophonius, Democritus Abderites rationes, quibus eae res natura rerum gubernarentur quemadmodumcumque effectus habeant, excogitatas reliquerunt. quorum inventa secuti siderum [ortus] et occasus tempestatumque significatus Eudoxus, Euctemon, Callippus, Meto, Philippus, Hipparchus, Aratus ceterique ex astrologia parapegmatorum disciplinis invenerunt et eas posteris explicatas reliquerunt.

**B 14, 1** /2 = Vitruvius IX, 5, 4
quae figurata conformataque sunt siderum in mundo simulacra natura divinaque mente designata, ut Democrito physico placuit, exposui, sed tantum ea quorum ortus et occasus possumus animadvertere et oculis contueri.

**B 14, 2** /1 = Eudoxos, Ars astronom., coll. 22, 21 (p. 25 Blass)
Εὐδόξωι Δημοκρίτωι χειμεριναὶ τροπαὶ ἀθὺρ ὁτὲ μὲν κ ὁτὲ δὲ ιθ.

**B 14, 2** /2 = Eudoxos, Ars astronom., coll. 23, 3
ἀπὸ ἰσημερίας μεθοπωρινῆς ἐπὶ χειμερινὰς τροπὰς Εὐδόξωι ἡμέραι ϟβ, Δημοκρίτωι ἡμέραι ϟα ..., ἀπὸ τροπῶν χειμερινῶν εἰς ἰσημερίαν ἐαρινὴν Εὐδόξωι καὶ Δ῍ωι ἡμέραι ϟα, Εὐκτήμονι ϟβ.

**B 14, 3** /1 = Pseudo-Geminos, Isag., p. 218, 14 Manit.
ἐν δὲ τῆι δ ἡμέραι Δημοκρίτωι Πλειάδες δύνουσιν ἅμα ἠοῖ·
ἄνεμοι χειμέριοι ὡς τὰ πολλὰ καὶ ψύχη ἤδη καὶ πάχνη ἐπιπνεῖν φιλεῖ·
φυλλορροεῖν ἄρχεται τὰ δένδρα μάλιστα.

**B 14, 3** /2 = Pseudo-Geminos, Isag., p. 220, 5
ἐν δὲ τῆι ιγ Δημοκρίτωι Λύρα ἐπιτέλλει ἅμα ἡλίωι ἀνίσχοντι·
καὶ ὁ ἀὴρ χειμέριος γίνεται ὡς ἐπὶ τὰ πολλά.

**B 14, 3** /3 = Pseudo-Geminos, Isag., p. 222, 9

ἐν δὲ τῆι ις Δημοκρίτωι ᾿Αετὸς ἐπιτέλλει ἅμα ἡλίωι·

καὶ ἐπισημαίνειν φιλεῖ βροντῆι καὶ ἀστραπῆι καὶ ὕδατι ἢ ἀνέμωι ἢ ἀμφότερα ὡς ἐπὶ τὰ πολλά.

**B 14, 3** /4 = Pseudo-Geminos, Isag., p. 224, 5

ἐν δὲ τῆι ιβ Δημοκρίτωι νότος πνεῖ ὡς [ἐπὶ τὰ πολλά].

**B 14, 3** /5 = Pseudo-Geminos, Isag., p. 224, 22

ἐν δὲ τῆι γ Εὐκτήμονι ὑετία. Δημοκρίτωι ἄλογχος, χειμών.

**B 14, 3** /6 = Pseudo-Geminos, Isag., p. 226, 4

ἐν δὲ τῆι ις Δημοκρίτωι ζέφυρος πνεῖν ἄρχεται καὶ παραμένει. ἡμέραι γ καὶ μ ἀπὸ τροπῶν.

**B 14, 3** /7 = Pseudo-Geminos, Isag., p. 226, 15

ἐν δὲ τῆι δ Δημοκρίτωι ποικίλαι ἡμέραι γίνονται ἁλκυονίδες καλούμεναι.

**B 14, 3** /8 = Pseudo-Geminos, Isag., p. 226, 23

ἐν δὲ τῆι ιδ Δημοκρίτωι ἄνεμοι πνέουσι ψυχροί, οἱ ὀρνιθίαι καλούμενοι, ἡμέρας μάλιστα ἐννέα.

**B 14, 3** /9 = Pseudo-Geminos, Isag., p. 228, 23

Δημοκρίτωι Πλειάδες κρύπτονται ἅμα ἡλίωι ἀνίσχοντι καὶ ἀφανεῖς γίνονται νύκτας μ.

**B 14, 3** /10 = Pseudo-Geminos, Isag., p. 232, 16

ἐν δὲ τῆι ι Δημοκρίτωι ὕδωρ γίνεται.

**B 14, 3** /11 = Pseudo-Geminos, Isag., p. 232, 21
ἐν δὲ τῆι κθ Δημοκρίτωι ἄρχεται ᾿Ωρίων ἐπιτέλλειν καὶ φιλεῖ ἐπισημαίνειν ἐπ᾿ αὐτῶι.

**B 14, 4** /1 = Plinius, Naturalis historia XVIII, 231
Democritus talem futuram hiemem arbitratur qualis fuerit brumae dies et circa eum terni, item solstitio aestatem. (Cfr. Theofrastos, q. f. de sign. 57.)

**B 14, 4** /2 = Plinius, Naturalis historia XVIII, 312
dein consentiunt, quod est rarum, Philippus ... Democritus, Eudoxus IV Kal. Oct. (28. 9.) Capellam matutino exoriri et III Kal. (29. 9.) Haedos.

**B 14, 5** = Schol. Apoll. Rhod. B 1098
(‘Ζεὺς δ᾿ ἀνέμου βορέαο μένος κίνησεν ἀῆναι, ὕδατι σημαίνων διερὴν ὁδὸν ᾿Αρκτούροιο’) τοῦτο δὲ ἔφη, ἐπεὶ κατὰ τὴν ἐπιτολὴν τοῦ ᾿Αρκτούρου σφοδροὶ καταχέονται ὄμβροι, ὥς φησι Δημόκριτος ἐν τῶι Περὶ ἀστρονομίας καὶ Ἄρατος (Phaenom. 745).

**B 14, 6** = Clodii Calend., in: Lydus, De ostntis, ed. Wachsm. 2; p. 157, 18
καὶ ταῦτα μὲν ὁ Κλώδιος ἐκ τῶν παρὰ Θούσκοις ἱερῶν πρὸς λέξιν·
καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ μὴν καὶ Εὔδοξός τε ὁ πολύς, Δημόκριτος πρῶτος αὐτῶν, Βάρρων τε ὁ Ῥωμαῖος (...).

**B 14, 7** /1 = Ptolemaios, Apparit. epileg. ebenda; p. 275, 1
καὶ τούτων ἀνέγραψα τὰς ἐπισημασίας καὶ κατέταξα κατά τε Αἰγυπτίους καὶ Δοσίθεον ... Δημόκριτον. τούτων δὲ Αἰγύπτιοι ἐτήρησαν παρ᾿ ἡμῖν ... Δημόκριτος ἐν Μακεδονίαι καὶ Θράικηι. διὸ δὴ μάλιστα ἄν τις ἐφαρμόζοι τὰς μὲν τῶν Αἰγυπτίων

ἐπισημασίας ταῖς περὶ τοῦτον τὸν παράλληλον χώραις, ... τὰς δὲ Δημοκρίτου ..., καθ᾽ ὃν ἡ μεγίστη τῶν ἡμερῶν ὡρῶν ἐστιν ἰσημερινῶν ιε.

**B 14, 7** /2 = Ptolemaios, Apparit. epileg. ebenda; p. 213, 19 Thoth
ιζ ... Δημόκριτος ᾽Αβδηρίτηι [ἐπισημαίνει καὶ] χελιδὼν ἀφανίζεται.

**B 14, 7** /3 = Ptolemaios, Apparit. epileg. ebenda; p. 215, 18
Thoth κθ Δημόκριτος ὑετὸς καὶ ἀνέμων ἀταξία.

**B 14, 7** /4 = Ptolemaios, Apparit. epileg. ebenda; p. 217, 12
Phaophi η Δημόκριτος χειμάζει· σπόρου ὥρα.

**B 14, 7** /5 = Ptolemaios, Apparit. epileg. ebenda; p. 220, 13
Athyr β Δημόκριτος ψύχη ἢ πάχνη.

**B 14, 7** /6 = Ptolemaios, Apparit. epileg. ebenda; p. 223, 14
Athyr ιζ Δημόκριτος χειμὼν καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν.

**B 14, 7** /7 = Ptolemaios, Apparit. epileg. ebenda; p. 227, 5
Choiak α Δημόκριτος ὁ οὐρανὸς ταραχώδης καὶ ἡ θάλασσα ὡς τὰ πολλά.

**B 14, 7** /8 = Ptolemaios, Apparit. epileg. ebenda; p. 229, 10
Choiak θ Δημόκριτος χειμών.

**B 14, 7** /9 = Ptolemaios, Apparit. epileg. ebenda; p. 230, 11
Choiak ιδ Δημόκριτος βρονταί, ἀστραπαί, ὕδωρ, ἄνεμοι.

**B 14, 7** /10 = Ptolemaios, Apparit. epileg. ebenda; p. 233, 8

Tybi α Δημόκριτος μέγας χειμών.

**B 14, 7** /11 = Ptolemaios, Apparit. epileg. ebenda; p. 233, 15

Tybi γ Δημόκριτος ἐπισημαίνει.

**B 14, 7** /12 = Ptolemaios, Apparit. epileg. ebenda; p. 234, 17

Tybi θ Δημόκριτος νότος ὡς τὰ πολλά.

**B 14, 7** /13 = Ptolemaios, Apparit. epileg. ebenda; p. 237, 17

Tybi κε Δημόκριτος ἐφύει.

**B 14, 7** /14 = Ptolemaios, Apparit. epileg. ebenda; p. 238, 6

Tybi κθ Δημόκριτος μέγας χειμών.

**B 14, 7** /15 = Ptolemaios, Apparit. epileg. ebenda; p. 240, 12

Mechir ιβ Δημόκριτος ζέφυρος ἄρχεται πνεῖν.

**B 14, 7** /16 = Ptolemaios, Apparit. epileg. ebenda; p. 241, 6

Mechir ιδ Δημόκριτος ζέφυρος πνεῖ.

**B 14, 7** /17 = Ptolemaios, Apparit. epileg. ebenda; p. 243, 5

Mechir λ Δημόκριτος ποικίλαι ἡμέραι αἱ καλούμεναι ἀλκυονίδες.

**B 14, 7** /18 = Ptolemaios, Apparit. epileg. ebenda; p. 245, 1

Phamenoth ια Δημόκριτος ἄνεμοι ψυχροί· ὀρνιθίαι ἐπὶ ἡμέρας θ.

**B 14, 7** /19 = Ptolemaios, Apparit. epileg. ebenda; p. 246, 16

Phamenoth κβ Δημόκριτος ἐπισημαίνει, ἄνεμος ψυχρός.

**B 14, 7** /20 = Ptolemaios, Apparit. epileg. ebenda; p. 247, 18

Pharmuthi α Δημόκριτος ἐπισημαίνει.

**B 14, 7** /21 = Ptolemaios, Apparit. epileg. ebenda; p. 252, 2

Pharmuthi κθ Δημόκριτος ἐπισημαίνει.

**B 14, 7** /22 = Ptolemaios, Apparit. epileg. ebenda; p. 258, 10

Payni γ Δημόκριτος ὑετία.

**B 14, 7** /23 = Ptolemaios, Apparit. epileg. ebenda; p. 259, 9

Payni θ Δημόκριτος ὕδωρ ἐπιγίνεται.

**B 14, 7** /24 = Ptolemaios, Apparit. epileg. ebenda; p. 262, 19

Payni κη Δημόκριτος ἐπισημαίνει.

**B 14, 7** /25 = Ptolemaios, Apparit. epileg. ebenda; p. 263, 18

Epiphi δ Δημόκριτος ζέφυρος καὶ ὕδωρ ἑῷιον, εἶτα βορέαι πρόδρομοι ἐπὶ ἡμέρας ζ.

**B 14, 7** /26 = Ptolemaios, Apparit. epileg. ebenda; p. 267, 4

Epiphi κβ Δημόκριτος ὕδωρ, καταιγίδες.

**B 14, 7** /27 = Ptolemaios, Apparit. epileg. ebenda; p. 268, 21

Mesori β Δημόκριτος, Ἱππάρχωι νότος καὶ καῦμα.

**B 14, 7** /28 = Ptolemaios, Apparit. epileg. ebenda; p. 271, 22

Mesori κς Δημόκριτος ἐπισημαίνει ὕδασι καὶ ἀνέμοις.

**B 14, 8** /1 = Ióannés Lydos, De mensibus IV, 16; p. 78, 15 Wünsch

Δημόκριτος δὲ τὸν λίβα μετὰ ὄμβρου φησὶ γίνεσθαι.

**B 14, 8** /2 = Ióannés Lydos, De mensibus IV, 16; p. 79, 5

Δημόκριτος λέγει δύεσθαι τὸν Δελφῖνα καὶ τροπὴν ὡς ἐπὶ πολὺ γίνεσθαι.

**B 14, 8** /3 = Ióannés Lydos, De mensibus IV, 16; p. 79, 16

Δημόκριτος ἄνεμον λίβα πνεῦσαι λέγει.

**B 14, 8** /4 = Ióannés Lydos, De mensibus IV, 16; p. 109, 3

ἐν δὲ τῆι ἡμέραι τῶν Βακχαναλίων Δημόκριτος δύεσθαι τοὺς Ἰχθύας λέγει.

**B 14, 8** /5 = Ióannés Lydos, De mensibus IV, 16; p. 159, 16

ἐν ταύτηι τῆι ἡμέραι ὁ Δημόκριτος λέγει ἐναλλαγὴν ἀνέμων συμβαίνειν καὶ βροχῆς ἐπικράτειαν.

**B 14, 8** /6 = Ióannés Lydos, De mensibus IV, 16; p. 163, 10

ὁ Δημόκριτος τοὺς Ἐρίφους ἀνίσχειν καὶ βορρᾶν πνεῖν διισχυρίζεται.

**B 14, 8** /7 = Ióannés Lydos, De mensibus IV, 16; p. 169, 3

ὁ Δημόκριτος λέγει τὸν ἥλιον [ἐν] Τοξότηι γίνεσθαι.

**B 14a - B 14c**

ΑΜΙΛΛΑ ΚΛΕΨΥΔΡΑΙ (?)

ΟΥΡΑΝΟΓΡΑΦΙΗ

ΓΕΩΓΡΑΦΙΗ

**B 15** = Agathemeros, Geographiae informatio I, 1, 6 - I, 2

εἶτα Δαμάστης ὁ Σιγειεὺς (F Gr Hist. 5 T 4; I, 153) τὰ πλεῖστα ἐκ τῶν Ἑκαταίου μεταγράψας Περίπλουν ἔγραψεν· ἑξῆς Δημόκριτος καὶ Εὔδοξος (fr. 1 Gisinger; Στοιχεῖα VI, 10) καὶ ἄλλοι τινὲς γῆς περιόδους καὶ περίπλους ἐπραγματεύσαντο.

(**2**) οἱ μὲν οὖν παλαιοὶ τὴν οἰκουμένην ἔγραφον στρογγύλην, μέσην δὲ κεῖσθαι τὴν Ἑλλάδα καὶ ταύτης Δελφούς· τὸν ὀμφαλὸν γὰρ ἔχειν τῆς γῆς. πρῶτος δὲ Δημόκριτος πολύπειρος ἀνὴρ συνεῖδεν, ὅτι προμήκης ἐστὶν ἡ γῆ ἡμιόλιον τὸ μῆκος τοῦ πλάτους ἔχουσα· συνήινεσε τούτωι καὶ Δικαίαρχος ὁ Περιπατητικός.

**B 15a - B 15c**

ΠΟΛΟΓΡΑΦΙΗ

ΑΚΤΙΝΟΓΡΑΦΙΗ

ΜΟΥΣΙΚΑ

ΠΕΡΙ ΡΥΘΜΩΝ ΚΑΙ ΑΡΜΟΝΙΗΣ

**B 16** = Mallius Theodor., De metr. VI, 589, 20 Keil

metrum dactylicum hexametrum inventum primitus ab Orpheo Critias (88 B 3) asserit, Democritus a Musaeo.

**B 16a**

ΠΕΡΙ ΠΟΙΗΣΙΟΣ

**B 17** /1 = Cicero, De oratore II, 46, 194

saepe enim audivi poetam bonum neminem (id quod a Democrito et Platone in scriptis relictum esse dicunt) sine inflammatione animorum existere posse et sine quodam adflatu quasi furoris.

**B 17** /2 = Cicero, De divinatione I 38, 80

negat enim sine furore Democritos quemquam poetam magnum esse posse, quod idem dicit Plato.

**B 17** /3 = Horatius, Ars poetica 295

ingenium misera quia fortunatius arte credit et excludit sanos Helicone poetas Democritus etc.

**B 18** = Kléméns Alexandriský, Stromata VI, 168,2

καὶ ὁ Δημόκριτος ὁμοίως·

ποιητὴς δὲ ἅσσα μὲν ἂν γράφηι μετ᾽ ἐνθουσιασμοῦ καὶ ἱεροῦ πνεύματος, καλὰ κάρτα ἐστίν.

ΠΕΡΙ ΚΑΛΛΟΣΥΝΗΣ ΕΠΕΩΝ

ΠΕΡΙ ΕΥΦΩΝΩΝ ΚΑΙ ΔΥΣΦΩΝΩΝ ΓΡΑΜΜΑΤΩΝ

**B 19** = Esutathios, Commentarii ad Homeri Iliadem G 1; p. 370, 15

τὸ γάμμα στοιχεῖον γέμμα φασὶν Ἴωνες καὶ μάλιστα Δημόκριτος, ὃς καὶ τὸ μῦ μῶ λέγει μῶ· τὸ μῦ στοιχεῖον Δημόκριτος.

**B 20** = Schol. Dionys. Thrac., p. 184, 3 Hilg.

τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά εἰσιν ... παρὰ Δημοκρίτωι δὲ κλίνονται· λέγει γὰρ δέλτατος καὶ θήτατος.

ΠΕΡΙ ΟΜΗΡΟΥ ἢ ΟΡΘΟΕΠΕΙΗΣ ΚΑΙ ΓΛΩΣΣΕΩΝ

**B 21** = Dión Chrysostomos, Orationes, Oratio 53, 1

ὁ μὲν Δημόκριτος περὶ Ὁμήρου φησὶν οὕτως·

Ὅμηρος φύσεως λαχὼν θεαζούσης ἐπέων κόσμον ἐτεκτήνατο παντοίων, ὡς οὐκ ἐνὸν ἄνευ θείας καὶ δαιμονίας φύσεως οὕτως καλὰ καὶ σοφὰ ἔπη ἐργάσασθαι.

**B 22** = Porfyrios, Quaest. hom. I, 274, 9 Schrad. (in Φ 252)

οἱ δὲ κατεψεύσαντο τοῦ ποιητοῦ ὡς ᾿μελανόστου᾿ (μέλανος τοῦ) ὑφ᾿ ἓν ὡς ᾿Ορέστου εἰρηκότος διὰ τὸ καὶ Δημόκριτον ἱστορεῖν ἐπὶ τοῦ ἀετοῦ τὰ ὀστᾶ μέλανα εἶναι καταψευδόμενοι τῆς ἀληθείας.

**B 23** = Schol. Hom. A ad H 390

τὸ ᾿ὡς πρὶν ὤφελλ᾿ ἀπολέσθαι᾿ εἴτε καὶ τοῖς Ἕλλησιν εἰς ἐπήκοον λέγει ὁ κῆρυξ πρὸς τὸ συγγνωμονεῖν τοῖς ἄλλοις Τρωσὶν ὡς καὶ αὐτοῖς ὀργιζομένοις, εἴτε καθ᾿ ἑαυτὸν καὶ ἠρέμα, ὡς Δημόκριτος ἀξιοῖ ἀπρεπὲς ἡγησάμενος τὸ φανερῶς λέγεσθαι, ἀμφότερα προστικτέον.

**B 24** = Eustathios, Comentarii ad Homeri Iliadem, in ο 376; p. 1784

ἰστέον δὲ ὅτι ἐς τοσοῦτον ἠξιώθη λόγου τοῖς παλαιοῖς ὁ εὐνοϊκὸς οὗτος δοῦλος Εὔμαιος, ὥστε καὶ μητέρα αὐτοῦ ἐξευρίσκουσι. Δημόκριτος μὲν Πενίαν, Εὐφορίων δὲ Πάνθειαν, Φιλόξενος δὲ ὁ Σιδώνιος Δανάην.

**B 25** = Eustathios, Comentarii ad Homeri Iliadem, in in XII, 62; p. 1713

ἄλλοι δὲ Δία μὲν νοοῦσι τὸν ἥλιον ..., ἀμβροσίαν δὲ τὰς ἀτμίδας αἷς ὁ ἥλιος τρέφεται, καθὰ δοξάζει καὶ Δημόκριτος.

**B 26** /1 = Proklos, In Cratylum 16; p. 5, 25 Pasqu.

ὅτι τῆς Κρατύλου δόξης γέγονε Πυθαγόρας τε καὶ ᾿Επίκουρος, Δημόκριτος δὲ καὶ ᾿Αριστοτέλης τῆς ῾Ερμογένους ...

**B 26** /2 = Proklos, In Cratylum 16; p. 6, 10

διὰ δὲ τοῦ θεμένου τὰ ὀνόματα τὴν ψυχὴν ᾐνίττετο, ἥτις ἀπὸ νοῦ μὲν ὑπέστη· καὶ αὐτὰ μὲν τὰ πράγματα οὐκ ἔστιν ὥσπερ ὁ νοῦς πρώτως, ἔχει δ᾿ αὐτῶν εἰκόνας καὶ λόγους οὐσιώδεις διεξοδικοὺς οἷον ἀγάλματα τῶν ὄντων ὥσπερ τὰ ὀνόματα

ἀπομιμούμενα τὰ νοερὰ εἴδη, τοὺς ἀριθμούς· τὸ μὲν οὖν εἶναι πᾶσιν ἀπὸ νοῦ τοῦ ἑαυτὸν γινώσκοντος καὶ σοφοῦ, τὸ δ᾿ ὀνομάζεσθαι ἀπὸ ψυχῆς τῆς νοῦν μιμουμένης. οὐκ ἄρα, φησὶ Πυθαγόρας, τοῦ τυχόντος ἐστὶ τὸ ὀνοματουργεῖν, ἀλλὰ τοῦ τὸν νοῦν ὁρῶντος καὶ τὴν φύσιν τῶν ὄντων· φύσει ἄρα τὰ ὀνόματα.

ὁ δὲ Δημόκριτος θέσει λέγων τὰ ὀνόματα διὰ τεσσάρων ἐπιχειρημάτων τοῦτο κατεσκεύαζεν· ἐκ τῆς ὁμωνυμίας· τὰ γὰρ διάφορα πράγματα τῶι αὐτῶι καλοῦνται ὀνόματι· οὐκ ἄρα φύσει τὸ ὄνομα· καὶ ἐκ τῆς πολυωνυμίας· εἰ γὰρ τὰ διάφορα ὀνόματα ἐπὶ τὸ αὐτὸ καὶ ἓν πρᾶγμα ἐφαρμόσουσιν, καὶ ἐπάλληλα, ὅπερ ἀδύνατον· τρίτον ἐκ τῆς τῶν ὀνομάτων μεταθέσεως. διὰ τί γὰρ τὸν ᾿Αριστοκλέα μὲν Πλάτωνα, τὸν δὲ Τύρταμον Θεόφραστον μετωνομάσαμεν, εἰ φύσει τὰ ὀνόματα; ἐκ δὲ τῆς τῶν ὁμοίων ἐλλείψεως· διὰ τί ἀπὸ μὲν τῆς φρονήσεως λέγομεν φρονεῖν, ἀπὸ δὲ τῆς δικαιοσύνης οὐκέτι παρονομάζομεν; τύχηι ἄρα καὶ οὐ φύσει τὰ ὀνόματα. καλεῖ δὲ ὁ αὐτὸς τὸ μὲν πρῶτον ἐπιχείρημα πολύσημον, τὸ δὲ δεύτερον ἰσόρροπον, [τὸ δὲ τρίτον μετώνυμον], τὸ δὲ τέταρτον νώνυμον.

**B 26a**

ΟΝΟΜΑΣΤΙΚΩΝ

**B 26b - 28c**

ΤΕΧΝΙΚΑ

**B 26b**

ΠΡΟΓΝΩΣΙΣ

**B 26c**

ΠΕΡΙ ΔΙΑΙΤΗΣ ἢ ΔΙΑΙΤΗΤΙΚΟΝ

**B 26c** = Hippocrates, De diaeta (De victu), pre 1 (VI, 466 L.)

εἰ μέν μοί τις ἐδόκει τῶν πρότερον συγγραψάντων περὶ διαίτης ἀνθρωπίνης τῆς πρὸς ὑγίειαν ὀρθῶς ἐγνωκὼς συγγεγραφέναι πάντα διὰ παντὸς ... ἱκανῶς ἂν εἶχέ μοι ... τούτοισι χρέεσθαι ... νῦν δὲ πολλοὶ μὲν ἤδη συνέγραψαν ...

**B 26d**

ΙΗΤΡΙΚΗ ΓΝΩΜΗ

**B 26e**

ΑΙΤΙΑΙ ΠΕΡΙ ΑΚΑΙΡΙΩΝ ΚΑΙ ΕΠΙΚΑΙΡΙΩΝ

**B 26f**

ΠΕΡΙ ΓΕΩΡΓΙΗΣ ἢ ΓΕΩΡΓΙΚΟΝ (ΓΕΩΡΓΙΚΑ)

**B 26f** = Varro, Res Rusticae I, 1, 8 (Archytás B 8) in: Colomella, De re rustica I, praef. 32

accedit huc quod illi, quem nos perfectum esse volumus agricolam, si quidem artis consummatae sit et in universa rerum natura sagacitatem Democriti vel Pythagorae fuerit consecutus ... profecerit, si ...

**B 27** = Columella III, 12, 5

status caeli, cuius regionem quam spectare debeant vineae vetus est dissensio ... Democrito et Magone laudantibus caeli plagam septentrionalem, quia existiment ei subiectas feracissimas fieri vineas, quae tamen bonitate vini superentur.

**B 27a** = Columella IX, 14, 6

progenerari posse apes iuvenco perempto Democritus et Mago nec minus Vergilius prodiderunt.

**B 28** = Columella XI, 3, 2

Democritus in eo libro quem Georgicon appellavit parum prudenter censet eos facere, qui hortis exstruant munimenta, quod neque latere fabricata maceries perennare possit pluviis ac tempestatibus plerumque infestata, eque lapide supra rei dignitatem poscat inpensa; si vero amplum modum sepire quis velit, patrimonio esse opus.

**B 28a - c**

ΠΕΡΙ ΖΩΓΡΑΦΙΗΣ

ΤΑΚΤΙΚΟΝ

ΟΠΛΟΜΑΧΙΚΟΝ

**B 29** = Apollónios, Cit. in Hipp. p. 6, 29 Schöne (In Hippcratis de aticulis comm. p. 6, 29 Schöne)

ταύτης δὲ τῆς ἐμβολῆς τὴν ἰσχυροτάτην ἀνάγκην περιεχούσης ὁ Βακχεῖος τὴν ἐπὶ τοῦ μοχλοειδοῦς ξύλου λεγομένην ἄμβην ἐν τοῖς Περὶ τῶν Ἱπποκρατείων λέξεων ἐξηγεῖται, ὅτι ᾿ἐν ταῖς λέξεσιν ἀναγέγραπται, ὡς Ῥόδιοι ἄμβωνας καλοῦσι τοὺς τῶν ὀρῶν λόφους καὶ καθόλου τὰς προσαναβάσεις᾿. καὶ διὰ τούτων φησὶν πάλιν· ᾿ἀναγέγραπται δὲ καὶ ὡς ὁ Δημόκριτος εἴη καλῶν τῆς ἴτυος τὴν τῶι κοίλωι περικειμένην ὀφρὺν ἄμβην᾿.

**B 29a** = Apollónios Dyskolos, De pronominibus; p. 92, 20 Schnöne (Schneider?)

αἱ πληθυντικαὶ καὶ κοινολεκτοῦνται κατ᾿ εὐθεῖαν πρός τε ᾿Ιώνων καὶ ᾿Αττικῶν ἡμεῖς, ὑμεῖς, σφεῖς, ἔστιν [δὲ] πιστώσασθαι καὶ τὸ ἀδιαίρετον τῆς εὐθείας παρ᾿ Ἴωσιν ἐκ τῶν περὶ Δημόκριτον, Φερεκύδην (Ferekýdés B 11), Ἑκαταῖον (FGrHist. 1 F 360; I, 45).

**B 30** /1 = Kléméns Alexandrisjký, Protrepticus 68,5

τῶν λογίων ἀνθρώπων ὀλίγοι ἀνατείναντες τὰς χεῖρας ἐνταῦθα, ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες· ᾽πάντα, [εἶπαν], Ζεὺς μυθέεται (?) καὶ πάνθ᾽ οὗτος οἶδε καὶ διδοῖ καὶ ἀφαιρέεται καὶ βασιλεὺς οὗτος τῶν πάντων᾽.

**B 30** /2 = Kléméns Alexandrisjký, Stromata V, 102,1

Ἤδη δὲ ὡς εἰπεῖν „ὑπ' αὐγὰς“ ὁ Δημόκριτος εἶναί τινας „ὀλίγους“ γράφει „τῶν ἀνθρώπων“, οἳ δὴ „ἀνατείναντες τὰς χεῖρας ἐνταῦθα ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες, <φασί>· πάντα Ζεὺς μυθέεται καὶ πάνθ' οὗτος οἶδε καὶ διδοῖ καὶ ἀφαιρέεται, καὶ βασιλεὺς οὗτος τῶν πάντων“.

**B 31** = Kléméns Alexandrisjký, Paedagogus I, 6, 2

ἰατρικὴ μὲν γὰρ κατὰ Δημόκριτον σώματος νόσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν ἀφαιρεῖται.

**B 32**

ξυνουσίη ἀποπληξίη σμικρή· ἐξέσσυται γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου καὶ ἀποσπᾶται πληγῆι τινι μεριζόμενος.

**B 32** /1 = Stobaios, Anthologium III, 6, 28

ξυνουσίη ἀποπληξίη σμικρή· ἐξέσσυται γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου.

**B 32** /2 = Hippolytos, Refutatio VIII, 14, 4 (p. 234, 5 W.)

„ἄνθρωπος <γὰρ> ἐξ ἀνθρώπου ἐξέσ<σ>υται,“ φησίν, „καὶ ἀποσπᾶται, πληγῇ τινι μεριζόμενος,“ ἵνα γένηται.

**B 32** /3 = Kléméns Alexandrisjký, Paedagogus II, 94, 4

„Μικρὰν ἐπιληψίαν“ τὴν συνουσίαν ὁ ᾿Αβδηρίτης ἔλεγεν σοφιστής, νόσον ἀνίατον ἡγούμενος. Ἦ γὰρ οὐχὶ καὶ ἐκλύσεις παρέπονται τῷ μεγέθει τῆς ἀπουσίας ἀνατιθέμεναι; „Ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου ἐκφύεταί τε καὶ ἀποσπᾶται.“

**B 33** /1 = Kléméns Alexandrisjký, Stromata IV, 149,4

διόπερ ὁ Δημόκριτος εὖ λέγει, ὡς „[ἡ] φύσις τε καὶ διδαχὴ παραπλήσιόν ἐστι“ καὶ τὴν αἰτίαν συντόμως προσαποδέδωκεν· „καὶ γὰρ ἡ διδαχὴ μεταρυθμίζει τὸν ἄνθρωπον, μεταρυθμοῦσα δὲ φύσις ποιεῖ“.

**B 33** /2 = Stobaios, Anthologium II, 31, 65 (II, 213, 1 W.)

ἡ φύσις καὶ ἡ διδαχὴ παραπλήσιόν ἐστι. καὶ γὰρ ἡ διδαχὴ μεταρυσμοῖ τὸν ἄνθρωπον, μεταρυσμοῦσα δὲ φυσιοποιεῖ.

**B 34** /1 = David, Prol. 38, 14 Busse

καὶ ὥσπερ ἐν τῶι παντὶ ὁρῶμεν τὰ μὲν μόνως ἄρχοντα οἷον τὰ θεῖα, τὰ δὲ καὶ ἄρχοντα καὶ ἀρχόμενα οἷον τὰ ἀνθρώπεια (ταῦτα γὰρ καὶ ἄρχονται ἐκ τῶν θείων καὶ ἄρχουσι τῶν ἀλόγων ζώιων), τὰ δὲ μόνως ἀρχόμενα ὡς τὰ ἄλογα ζῶια, τὸν αὐτὸν τρόπον καὶ ἐν τῶι ἀνθρώπωι μικρῶι κόσμωι ὄντι κατὰ τὸν Δημόκριτον ταῦτα θεωροῦνται. καὶ τὰ μὲν μόνως ἄρχουσιν, ὥσπερ ὁ λόγος, τὰ δὲ καὶ ἄρχονται καὶ ἄρχουσιν ὡς ὁ θυμός ... τὰ δὲ μόνως ἄρχονται ὥσπερ ἡ ἐπιθυμία.

**B 34** /2 = Gallénos, De usu partt. III, 10 (III, 241 K., I, 177, 10 Helmr.)

ἀλλὰ καὶ τὸ ζῶιον οἷον μικρόν τινα κόσμον εἶναί φασιν ἄνδρες παλαιοὶ περὶ φύσιν ἱκανοί.

**B 35 - B 115**

ΔΗΜΟΚΡΑΤΟΥΣ ΓΝΩΜΑΙ

**B 35** = Démokratés 1.

γνωμέων μευ τῶνδε εἴ τις ἐπαΐοι ξὺν νόωι, πολλὰ μὲν ἕρξει πράγματ᾽ ἀνδρὸς ἀγαθοῦ ἄξια, πολλὰ δὲ φλαῦρα οὐχ ἕρξει.

**B 36** = Démokratés 2. in Stobaios, Anthologium III, 1, 27; cfr. B 187

ψυχῆς ... τίθησιν.

**B 37** = Démokratés 3.

ὁ τὰ ψυχῆς ἀγαθὰ αἱρεόμενος τὰ θειότερα αἱρέεται· ὁ δὲ τὰ σκήνεος τὰ ἀνθρωπήϊα.

**B 38** = Démokratés 4.

καλὸν μὲν τὸν ἀδικέοντα κωλύειν· εἰ δὲ μή, μὴ ξυναδικέειν.

**B 39** = Démokratés 5. in Stobaios, Anthologium III, 37, 25

ἀγαθὸν ἢ εἶναι χρεὼν ἢ μιμεῖσθαι.

**B 40** = Démokratés 6.

οὔτε σώμασιν οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ᾽ ὀρθοσύνηι καὶ πολυφροσύνηι.

**B 41** = Démokratés 7. in Stobaios, Anthologium III, 1, 95

μὴ διὰ φόβον, ἀλλὰ διὰ τὸ δέον ἀπέχεσθαι ἁμαρτημάτων.

**B 42** = Démokratés 8. in Stobaios, Anthologium IV, 44, 68

μέγα τὸ ἐν ξυμφορῆισι φρονεῖν ἃ δεῖ.

**B 43** = Démokratés 9.

μεταμέλεια ἐπ᾽ αἰσχροῖσιν ἔργμασι βίου σωτηρίη.

**B 44** = Démokratés 10. in Stobaios, Anthologium III, 12, 13

ἀληθόμυθον χρὴ εἶναι, οὐ πολύλογον.

**B 45** = Démokratés 11.

ὁ ἀδικῶν τοῦ ἀδικουμένου κακοδαιμονέστερος.

**B 46** = Démokratés 12. in Stobaios, Anthologium IV, 44, 69

μεγαλοψυχίη τὸ φέρειν πραέως πλημμέλειαν.

**B 47** = Démokratés 13. in Stobaios, Anthologium III, 1, 45

νόμωι καὶ ἄρχοντι καὶ τῶι σοφωτέρωι εἴκειν κόσμιον.

**B 48** = Démokratés 14. in Stobaios, Anthologium III, 38, 46

μωμεομένων φλαύρων ὁ ἀγαθὸς οὐ ποιεῖται λόγον.

**B 49** = Démokratés 15. in Stobaios, Anthologium IV, 4, 27

χαλεπὸν ἄρχεσθαι ὑπὸ χερείονος.

**B 50** = Démokratés 16.

ὁ χρημάτων παντελῶς ἥσσων οὐκ ἄν ποτε εἴη δίκαιος.

**B 51** = Démokratés 17. in Stobaios, Anthologium II, 4, 12

ἰσχυρότερος ἐς πειθὼ λόγος πολλαχῆι γίνεται χρυσοῦ.

**B 52** = Démokratés 18. in Stobaios, Anthologium III, 10, 42

τὸν οἰόμενον νοῦν ἔχειν ὁ νουθετέων ματαιοπονεῖ.

**B 53** = Démokratés 19.1.

πολλοὶ λόγον μὴ μαθόντες ζῶσι κατὰ λόγον.

**B 53a** = Démokratés 19.2. in Stobaios, Anthologium II, 15, 33

πολλοὶ δρῶντες τὰ αἴσχιστα λόγους ἀρίστους ἀσκέουσιν.

**B 54** = Démokratés 20.

οἱ ἀξύνετοι δυστυχέοντες σωφρονέουσι.

**B 55** = Démokratés 21. in Stobaios, Anthologium II, 15, 36

ἔργα καὶ πρήξιας ἀρετῆς, οὐ λόγους, ζηλοῦν χρειών.

**B 56** = Démokratés 22.

τὰ καλὰ γνωρίζουσι καὶ ζηλοῦσιν οἱ εὐφυέες πρὸς αὐτά.

**B 57** = Démokratés 23. in Stobaios, Anthologium IV, 29, 18

κτηνέων μὲν εὐγένεια ἡ τοῦ σκήνεος εὐσθένεια, ἀνθρώπων δὲ ἡ τοῦ ἤθεος εὐτροπίη.

**B 58** = Démokratés 23a. in Stobaios, Anthologium IV, 46, 18

ἐλπίδες αἱ τῶν ὀρθὰ φρονεόντων ἐφικταί, αἱ δὲ τῶν ἀξυνέτων ἀδύνατοι.

**B 59** = Démokratés 24. in Stobaios, Anthologium II, 31, 71

οὔτε τέχνη οὔτε σοφίη ἐφικτόν, ἢν μὴ μάθηι τις.

**B 60** = Démokratés 25. in Stobaios, Anthologium III, 13, 46

κρέσσον τὰ οἰκήϊα ἐλέγχειν ἁμαρτήματα ἢ τὰ ὀθνεῖα.

**B 61** = Démokratés 26. in Stobaios, Anthologium III, 37, 25

οἷσιν ὁ τρόπος ἐστὶν εὔτακτος, τούτοισι καὶ ὁ βίος συντέτακται.

**B 62** = Démokratés 27. in Stobaios, Anthologium III, 9, 29

ἀγαθὸν οὐ τὸ μὴ ἀδικεῖν, ἀλλὰ τὸ μηδὲ ἐθέλειν.

**B 63** = Démokratés 28. in Stobaios, Anthologium III 14, 8

εὐλογέειν ἐπὶ καλοῖς ἔργμασι καλόν· τὸ γὰρ ἐπὶ φλαύροισι κιβδήλου καὶ ἀπατεῶνος ἔργον.

**B 64** = Démokratés 29. in Stobaios, Anthologium III, 4, 81

πολλοὶ πολυμαθέες νοῦν οὐκ ἔχουσιν.

**B 65** = Démokratés 30. (Cfr. Hérakleitos B 40)

πολυνοΐην, οὐ πολυμαθίην ἀσκέειν χρή.

**B 66** = Démokratés 31.

προβουλεύεσθαι κρεῖσσον πρὸ τῶν πράξεων ἢ μετανοεῖν.

**B 67** = Démokratés 32.

μὴ πᾶσιν, ἀλλὰ τοῖς δοκίμοισι πιστεύειν· τὸ μὲν γὰρ εὔηθες, τὸ δὲ σωφρονέοντος.

**B 68** = Démokratés 33.

δόκιμος ἀνὴρ καὶ ἀδόκιμος οὐκ ἐξ ὧν πράσσει μόνον, ἀλλὰ καὶ ἐξ ὧν βούλεται.

**B 69** = Démokratés 34.

ἀνθρώποις πᾶσι τωὐτὸν ἀγαθὸν καὶ ἀληθές· ἡδὺ δὲ ἄλλωι ἄλλο.

**B 70** = Démokratés 35.

παιδός, οὐκ ἀνδρὸς τὸ ἀμέτρως ἐπιθυμεῖν.

**B 71** = Démokratés 36.

ἡδοναὶ ἄκαιροι τίκτουσιν ἀηδίας.

**B 72** = Démokratés 37.

αἱ περί τι σφοδραὶ ὀρέξεις τυφλοῦσιν εἰς τἆλλα τὴν ψυχήν.

**B 73** = Démokratés 38. in Stobaios, Anthologium III, 5, 23

δίκαιος ἔρως ἀνυβρίστως ἐφίεσθαι τῶν καλῶν.

**B 74** = Démokratés 39.

ἡδὺ μηδὲν ἀποδέχεσθαι, ἢν μὴ συμφέρηι.

**B 75** = Démokratés 40. in Stobaios, Anthologium IV, 2, 13

κρέσσον ἄρχεσθαι τοῖς ἀνοήτοισιν ἢ ἄρχειν.

**B 76** = Démokratés 41.

νηπίοισιν οὐ λόγος, ἀλλὰ ξυμφορὴ γίνεται διδάσκαλος.

**B 77** = Démokratés 42. in Stobaios, Anthologium III, 4, 82

δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κτήματα.

**B 78** = Démokratés 43. in Stobaios, Anthologium IV, 31, 121

χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον.

**B 79** = Démokratés 44.

χαλεπὸν μιμεῖσθαι μὲν τοὺς κακούς, μηδὲ ἐθέλειν δὲ τοὺς ἀγαθούς.

**B 80** = Démokratés 45.

αἰσχρὸν τὰ ὀθνεῖα πολυπραγμονέοντα ἀγνοεῖν τὰ οἰκήϊα.

**B 81** = Démokratés 46. in Stobaios, Anthologium III, 29, 67

τὸ ἀεὶ μέλλειν ἀτελέας ποιεῖ τὰς πρήξιας.

**B 82** /1 = Démokratés 47.

κίβδηλοι καὶ ἀγαθοφανέες οἱ λόγωι μὲν ἅπαντα, ἔργωι δὲ οὐδὲν ἔρδοντες.

**B 82** /2 = Démokratés 48.

μακάριος, ὃς οὐσίαν καὶ νοῦν ἔχει· χρῆται γὰρ εἰς ἃ δεῖ καλῶς.

**B 83** = Démokratés 49.

ἁμαρτίης αἰτίη ἡ ἀμαθίη τοῦ κρέσσονος.

**B 84** = Démokratés 50.

ἑωυτὸν πρῶτον αἰσχύνεσθαι χρεὼν τὸν αἰσχρὰ ἔρδοντα.

**B 85** = Démokratés 51. in Stobaios, Anthologium II, 31, 73

ὁ ἀντιλογεόμενος καὶ πολλὰ λεσχηνευόμενος ἀφυὴς ἐς μάθησιν ὧν χρή.

**B 86** = Démokratés 52. in Stobaios, Anthologium III, 36, 24

πλεονεξίη τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν.

**B 87** = Démokratés 53.

τὸν φαῦλον παραφυλάττειν δεῖ, μὴ καιροῦ λάβηται.

**B 88** = Démokratés 54. in Stobaios, Antholoium III, 38. 47

ὁ φθονέων ἑωυτὸν ὡς ἐχθρὸν λυπέει.

**B 89** = Démokratés 55.

ἐχθρὸς οὐχ ὁ ἀδικέων, ἀλλὰ ὁ βουλόμενος.

**B 90** = Démokratés 56.

ἡ τῶν συγγενῶν ἔχθρη τῆς τῶν ὀθνείων χαλεπωτέρη μάλα.

**B 91** = Démokratés 57.

μὴ ὕποπτος πρὸς ἅπαντας, ἀλλ᾽ εὐλαβὴς γίνου καὶ ἀσφαλής.

**B 92** = Démokratés 58.

χάριτας δέχεσθαι χρεὼν προσκοπευόμενον κρέσσονας αὐτῶν ἀμοιβὰς ἀποδοῦναι.

**B 93** = Démokratés 59.

χαριζόμενος προσκέπτεο τὸν λαμβάνοντα, μὴ κακὸν ἀντ᾽ ἀγαθοῦ κίβδηλος ἐὼν ἀποδῶι.

**B 94** = Démokratés 60.

μικραὶ χάριτες ἐν καιρῶι μέγισται τοῖς λαμβάνουσι.

**B 95** = Démokratés 61.

τιμαὶ παρὰ τοῖς εὖ φρονέουσι μέγα δύνανται, οἳ ξυνιᾶσι τιμώμενοι.

**B 96** = Démokratés 62.

χαριστικὸς οὐχ ὁ βλέπων πρὸς τὴν ἀμοιβήν, ἀλλ᾽ ὁ εὖ δρᾶν προηιρημένος.

**B 97** = Démokratés 63.

πολλοὶ δοκέοντες εἶναι φίλοι οὐκ εἰσί, καὶ οὐ δοκέοντες εἰσίν.

**B 98** = Démokratés 64.

ἑνὸς φιλίη ξυνετοῦ κρέσσων ἀξυνέτων πάντων.

**B 99** = Démokratés 65.

ζῆν οὐκ ἄξιος, ὅτωι μηδὲ εἷς ἐστι χρηστὸς φίλος.

**B 100** = Démokratés 66.

ὅτεωι μὴ διαμένουσιν ἐπὶ πολλὸν οἱ πειραθέντες φίλοι, δύστροπος.

**B 101** = Démokratés 67.

ἐκτρέπονται πολλοὶ τοὺς φίλους, ἐπὴν ἐξ εὐπορίης εἰς πενίην μεταπέσωσιν.

**B 102** = Démokratés 68.

καλὸν ἐν παντὶ τὸ ἶσον· ὑπερβολὴ δὲ καὶ ἔλλειψις οὔ μοι δοκέει.

**B 103** = Démokratés 69.

οὐδ᾽ ὑφ᾽ ἑνὸς φιλέεσθαι δοκέει μοι ὁ φιλέων μηδένα.

**B 104** = Démokratés 70.

γέρων εὔχαρις ὁ αἱμύλος καὶ σπουδαιόμυθος.

**B 105** = Démokratés 71.

σώματος κάλλος ζωιῶδες, ἢν μὴ νοῦς ὑπῆι.

**B 106** = Démokratés 72.

ἐν εὐτυχίηι φίλον εὑρεῖν εὔπορον, ἐν δὲ δυστυχίηι πάντων ἀπορώτατον.

**B 107** = Démokratés 73.

φίλοι οὐ πάντες οἱ ξυγγενέες, ἀλλ᾽ οἱ ξυμφωνέοντες περὶ τοῦ ξυμφέροντος.

**B 107a** = Démokratés 74.

ἄξιον ἀνθρώπους ὄντας ἐπ᾽ ἀνθρώπων συμφοραῖς μὴ γελᾶν, ἀλλ᾽ ὀλοφύρεσθαι.

**B 108** = Démokratés 75. in Stobaios IV, 34, 58

διζημένοισι τἀγαθὰ μόλις παραγίνεται, τὰ δὲ κακὰ καὶ μὴ διζημένοισιν.

**B 109** = Démokratés 76.

οἱ φιλομεμφέες εἰς φιλίην οὐκ εὐφυέες.

**B 110** = Démokratés 77.

γυνὴ μὴ ἀσκείτω λόγον· δεινὸν γάρ.

**B 111** = Démokratés 78. in Stobaios IV, 23, 39

ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις εἴη ἂν ἀνδρὶ ἐσχάτη.

**B 112** /1 = Démokratés 79.

θείου νοῦ τὸ ἀεί τι διαλογίζεσθαι καλόν.

**B 112** /2 = Démokratés 80.

ἢν πιστεύηι τις θεοὺς ἐπισκοπεύειν πάντα, οὔτε λάθρη οὔτε φανερῶς ἁμαρτήσεται.

**B 113** = Démokratés 81.

μεγάλα βλάπτουσι τοὺς ἀξυνέτους οἱ ἐπαινέοντες.

**B 114** = Démokratés 82.

βέλτερον ὑφ᾽ ἑτέρου ἢ ὑφ᾽ ἑαυτοῦ ἐπαινέεσθαι.

**B 115** /1 = Démokratés 83.

ἢν μὴ γνωρίζῃς τοὺς ἐπαίνους, κολακεύεσθαι ἡγέο.

**B 115** /2 = Démokratés 84.

ὁ κόσμος σκηνή, ὁ βίος πάροδος· ἦλθες, εἶδες, ἀπῆλθες.

**B 115** /3 = Démokratés 85.

ὁ κόσμος ἀλλοίωσις, ὁ βίος ὑπόληψις.

**B 115** /4 = Démokratés 86.

τίμιον ὀλίγη σοφία ὑπὲρ δόξαν ἀφροσύνης μεγάλης.

**B 116** /1 = Diogenés Laertios, Vitae philosophorum IX, 36

ἦλθον γὰρ εἰς ᾿Αθήνας καὶ οὔ τίς με ἔγνωκεν.

**B 116** /2 = Cicero, Tusculanae disputationes V, 36, 104

Intellegendum est igitur nec gloriam popularem ipsam per sese expetendam nec ignobilitatem extimescendam.

„Veni Athenas“ inquit Democritus, „neque me quisquam ibi adgnovit.“

Constantem hominem et gravem, qui glorietur a gloria se afuisse.

**B 117** /1 = Diogenés Laertios, Vitae philosophorum IX, 72

Δημόκριτος δὲ τὰς ποιότητας ἐκβάλλων, ἵνα φησί· „νόμωι θερμόν, νόμωι ψυχρόν, ἐτεῆι δὲ ἄτομα καὶ κενόν“ (B 125) καὶ πάλιν·

„ἐτεῆι δὲ οὐδὲν ἴδμεν· ἐν βυθῶι γὰρ ἡ ἀλήθεια“.

**B 117** /2 = Cicero, Academica priora II, 10, 32

Naturam accusa, quae in profundo veritatem, ut ait Democritus, penitus abstruserit.

**B 118** = Dionýsios, in Eusebio, Praeparatio evangelica XIV, 27, 4

Δημόκριτος γοῦν αὐτός, ὥς φασιν, ἔλεγε βούλεσθαι μᾶλλον μίαν εὑρεῖν αἰτιολογίαν ἢ τὴν Περσῶν οἱ βασιλείαν γενέσθαι·

καὶ ταῦτα μάτην καὶ ἀναιτίως αἰτιολογῶν ὡς ἀπὸ κενῆς ἀρχῆς καὶ ὑποθέσεως πλανωμένης ὁρμώμενος καὶ τὴν ·ίζαν καὶ τὴν κοινὴν ἀνάγκην τῆς τῶν ὄντων φύσεως οὐχ ὁρῶν, σοφίαν δὲ μεγίστην ἡγούμενος τὴν τῶν ἀσόφως καὶ ἠλιθίως συμβαινόντων κατανόησιν, καὶ τὴν τύχην τῶν μὲν καθόλου καὶ τῶν θείων δέσποιναν ἐφιστὰς, καὶ βασιλίδα, καὶ πάντα γενέσθαι κατ᾽ αὐτὴν ἀποφαινόμενος, τοῦ δὲ τῶν ἀνθρώπων αὐτὴν ἀποκηρύττων βίου καὶ τοὺς πρεσβεύοντας αὐτὴν ἐλέγχων ἀγνώμονας.

**B 119** /1 = Dionýsios, in Eusebio, Praeparatio evangelica XIV, 27, 5

τῶν γοῦν ὑποθηκῶν ἀρχόμενος λέγει

„ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο πρόφασιν ἰδίης ἀβουλίης. βαιὰ γὰρ φρονήσει τύχη μάχεται, τὰ δὲ πλεῖστα ἐν βίωι εὐξύνετος ὀξυδερκείη κατιθύνει.“ φύσει γὰρ γνώμηι τύχη μάχεται· καὶ τὴν ἐχθίστην τῆι φρονήσει ταύτην αὐτὴν ἔφασαν κρατεῖν· μᾶλλον δὲ καὶ ταύτην ἄρδην ἀναιροῦντες καὶ ἀφανίζοντες ἐκείνην ἀντικαθιστᾶσιν αὐτῆς· οὐ γὰρ εὐτυχῆ τὴν φρόνησιν, ἀλλ' ἐμφρονεστάτην ὑμνοῦσι τὴν τύχην.

**B 119** /2 = Stobaios II, 8, 16

Δημοκρίτου· ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο πρόφασιν ἰδίης ἀβουλίης. βαιὰ γὰρ φρονήσει τύχη μάχεται, τὰ δὲ πλεῖστα ἐν βίωι εὐξύνετος ὀξυδερκείη κατιθύνει.

**B 119** /3 = Epikúros, Sent. 16 (p. 74, 17 Us.)

βραχέα σοφῶι τύχη παρεμπίπτει, τὰ δὲ μέγιστα καὶ κυριώτατα ὁ λογισμὸς διώικηκε καὶ κατὰ τὸν συνεχῆ χρόνον τοῦ βίου διοικεῖ καὶ διοικήσει.

ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο πρόφασιν ἰδίης ἀβουλίης. βαιὰ γὰρ φρονήσει τύχη μάχεται, τὰ δὲ πλεῖστα ἐν βίωι εὐξύνετος ὀξυδερκείη κατιθύνει.

**B 120** = Erotianos Gramm. p. 90, 18 N.

φλέβας δὲ οὐ τὰς συνήθως λεγομένας, ἀλλὰ τὰς ἀρτηρίας ὠνόμασε. καὶ ὁ Δημόκριτος δὲ φλεβοπαλίην καλεῖ τὴν τῶν ἀρτηριῶν κίνησιν.

**B 121** = Eustathios, in β 190; p. 1441

Δημόκριτος δὲ „ἐπιτηδειέστατον“ φησί.

**B 122** /1 = Etymolog. gent., s.v. ἀλαπάξαι·

ἐκπορθῆσαι παρὰ τὴν λάπαθον τὴν βοτάνην ἥ ἐστι κενωτικὴ γαστρός. καὶ Δημόκριτος τοὺς βόθρους τοὺς παρὰ τῶν κυνηγετῶν γινομένους λαπάθους καλεῖ διὰ τὸ κεκενῶσθαι.

**B 122** /2 = Anecd. Bekk. Lex. VI, 374, 14

ἀμέλει Δημόκριτος τοὺς βόθρους τοὺς πρὸς τῶν κυνηγῶν σκαπτομένους οἷς ὑπεράνω κόνις λεπτὴ ἐπιχεῖται καὶ φρύγανα ἐπιβάλλεται, ἵνα οἱ λαγωοὶ ἐμπίπτωσιν εἰς αὐτούς, λαπάθους φησὶ καλεῖσθαι.

**B 122a** = Etymolog. gent., s.v. γυνή·

... ἤ, ὡς Δημόκριτος, γονή τις οὖσα, ἡ γονῆς δεκτική.

**B 123** = Etymolog. gent., s.v. δείκελον·

παρὰ δὲ Δημοκρίτωι κατ᾽ εἶδος ὁμοία τοῖς πράγμασιν ἀπόρροια.

**B 124** = Pseudo-Galénos, Definitiones medicae 439 (XIX, 449, 15-18 K.)
ἐκκρίνεται τὸ σπέρμα ὥσπερ Πλάτων (Tim. 91a) φησὶ καὶ Διοκλῆς (fr. 170; 196 Wellm.) ἀπὸ ἐγκεφάλου καὶ νωτιαίου· Πραξαγόρας δὲ καὶ Δημόκριτος ἔτι τε Ἱπποκράτης ἐξ ὅλου τοῦ σώματος, ὁ μὲν Δημόκριτος λέγων,
ἄνθρωποι εἷς ἔσται καὶ ἄνθρωπος πάντες.

**B 125** = Galénos, De medic. empir. fr. 1259, 8 Schöne
ὃς γὰρ οὐδ᾽ ἄρξασθαι δύναται τῆς ἐναργείας χωρίς, πῶς ἂν οὗτος πιστὸς εἴη, παρ᾽ ἧς ἔλαβε τὰς ἀρχάς, κατὰ ταύτης θρασυνόμενος; τοῦτο καὶ Δημόκριτος εἰδώς, ὁπότε τὰ φαινόμενα διέβαλε, „νόμωι χροιή, νόμωι γλυκύ, νόμωι πικρόν“, εἰπών, „ἐτεῆι δ᾽ ἄτομα καὶ κενόν,“ ἐποίησε τὰς αἰσθήσεις λεγούσας πρὸς τὴν διάνοιαν οὕτως· „τάλαινα φρήν, παρ᾽ ἡμέων λαβοῦσα τὰς πίστεις ἡμέας καταβάλλεις; πτῶμά τοι τὸ κατάβλημα.“

**B 126** /1 = Gallénos, De differ. puls. I, 25 (VIII, 551 K)
κοινὸν μέν, ἀφ᾽ οὗ καὶ τοὔνομα ἑκατέροις, τῶι μὲν κυματώδει τὸ οἷον κύματα ἐπανίστασθαι κατὰ τὴν ἀρτηρίαν ἕτερον ἐφ᾽ ἑτέρωι, τῶι δὲ σκωληκίζοντι σκώληκος ἐοικέναι πορείαι καὶ αὐτοῦ τοῦ ζώιου κυματωδῶς κινουμένου, καθάπερ καὶ Δημόκριτος λέγει που περὶ τῶν τοιούτων διαλεγόμενος τῶν
᾽ὅσα κυματοειδῶς ἀνὰ τὴν πορείαν πλάζεται᾽.

**B 126** /2 = Aristotelés, Hist. anim. V, 19; p. 551b 6
γίνονται δὲ καὶ τὰ ὕπερα καὶ τὰ πηνία ἔκ τινων τοιούτων ἄλλων, αἳ κυμαίνουσι τῆι πορείαι καὶ προβᾶσαι τῶι ἑτέρωι κάμψασαι ἐπιβαίνουσιν.

**B 127** = Hérodian., π. καθολ. προσ. in: Eustath. ad ξ 428; p. 1766 (II, 445, 9 L.)

καὶ Δημόκριτος ̓ξυόμενοι ἄνθρωποι ἥδονται καί σφιν γίνεται ἅπερ τοῖς ἀφροδισιάζουσιν̓.

**B 128** = Hérodian., π. καθολ. προσ. in: Theogn. p. 79 (I, 355, 19 L.)

εἰς ων οὐδέτερον μονογενὲς ἢ εἰς ην ἢ εἰς αν ἢ εἰς εν ἢ εἰς ιν ἢ εἰς υν οὐκ ἔστιν εὑρεῖν. τὸ γὰρ ἰθύτρην παρὰ Δημοκρίτωι βεβίασται.

**B 129** = Hérodian., περὶ παθῶν in: Et. gen. s.v. νένωται (II, 253 L.)

καὶ πάλιν ὡς χρυσόονται, χρυσοῦνται οὕτω καὶ νόονται, νοῦνται. Δημοκρίτῳ φρενὶ θεῖα νοῦνται.

**B 129a** = Hérodian., περὶ παθῶν in: Epimer. Hom. 396, 11 (II, 224 n. L.)

καὶ παρὰ τὸ κλίνω κέκλιται παρὰ τῶι Δημοκρίτωι χωρὶς τοῦ ν.

**B 130** = Hésychios, Lexicon, s.v. ἀμφιδήτιοι·

ὡς κρίκοι διάκενοι παρὰ Δημοκρίτωι.

**B 131** = Hésychios, Lexicon, s.v. ἀπάτητον

ἀπάτητον· τὸ ἀνωμάλως συγκείμενον παρὰ Δημοκρίτωι.

**B 132** = Hésychios, Lexicon, s.v. ἀσκαληρές

ἀσκαληρές· ἰσόπλευρον παρὰ Δημοκρίτωι.

**B 133** = Hésychios, Lexicon, s.v. βροχμώδης

βροχμώδης· ἡ νοτερὰ καὶ ἁπαλή. Δημόκριτος.

**B 134** = Hésychios, Lexicon, s.v. βρόχος

βρόχος· ἀγκύλη Δημόκριτος, ἀγχόνη, δεσμός.

**B 135** = Hésychios, Lexicon, s.v. δεξαμεναί

δεξαμεναί· ὑδάτων δοχεῖα, καὶ ἐν τῶι σώματι φλέβες. Δημοκρίτου.

**B 136** = Hésychios, Lexicon, s.v. δυοχοῖ

δυοχοῖ· πωματίζει παρὰ Δημοκρίτωι.

Cfr. Hésychios, Lexicon, s.v. δυοχῶσαι· πωμάσαι.

**B 137** = Hésychios, Lexicon, s.v. συγγονή

συγγονή· σύστασις. Δημόκριτος.

**B 138** = Hésychios, Lexicon, s.v. ἀμειψικοσμίη

ἀμειψικοσμίη· μετακόσμησις.

**B 139** = Hésychios, Lexicon, s.v. ἀμειψιρυσμεῖν

ἀμειψιρυσμεῖν· ἀλλάσσειν τὴν σύγκρισιν ἢ μεταμορφοῦσθαι.

**B 139a** = Hésychios, Lexicon, s.v. ἀμειψίχρο[ο]ν

ἀμειψίχρο[ο]ν· μεταβάλλον τὰ [χρώματα].

**B 140** = Hésychios, Lexicon, s.v. εὐεστώ

εὐεστώ· ... εὐδαιμονία ἀπὸ τοῦ εὖ ἑστάναι τὸν οἶκον.

**B 141** = Hésychios, Lexicon, s.v. ἰδέα

ἰδέα· ἡ ὁμοιότης, μορφή, εἶδος. καὶ τὸ ἐλάχιστον σῶμα.

**B 142** /1 = Olympiodóros, In Plat. Phileb.2; p. 242 Stallb.

τί τὸ τοσοῦτον σέβας περὶ τὰ θεῶν ὀνόματα τοῦ Σωκράτους; ἢ ὅτι πάλαι καθιέρωται τοῖς οἰκείοις τὰ οἰκεῖα καὶ ἄτοπον κινεῖν τὰ ἀκίνητα ἢ ὅτι φύσει αὐτοῖς ὠικείωται κατὰ τὸν ἐν Κρατύλωι λόγον ἢ ὅτι ἀγάλματα φωνήεντα καὶ ταῦτά ἐστι τῶν θεῶν, ὡς Δημόκριτος;

**B 142** /2 = Hierokl., In Pyth. c. aur. 25

τὸ τοῦ Διὸς ὄνομα σύμβολόν ἐστι καὶ εἰκὼν ἐν φωνῆι δημιουργικῆς οὐσίας τῶι τοὺς πρώτους θεμένους τοῖς πράγμασι τὰ ὀνόματα διὰ σοφίας ὑπερβολὴν ὥσπερ τινὰς ἀγαλματοποιοὺς ἀρίστους διὰ τῶν ὀνομάτων ὡς δι᾽ εἰκόνων ἐμφανίσαι αὐτῶν τὰς δυνάμεις.

**B 143** = Filodémos, De ira 28, 17 G.

κἀπαντῶσι δὲ πολλάκι πολλαὶ συμφοραὶ καὶ φίλοις καὶ προσήκουσιν ἄλλοις, ἔστι δ᾽ ὅτε καὶ πατρίσι καὶ βασιλείαις, οὐ πάλαι μόνον, ὅθ᾽ ἡ μῆνις ἐκείνη μυρί᾽ ᾽Αχαιοῖς ἄλγη ἔθηκεν, ἀλλ᾽ ὁσημέραι, καὶ μικροῦ δεῖν ᾽ὅσα τις ἂν νώσαιτο᾽ κατὰ Δημόκριτον ᾽κακά᾽ πάντα παρακολουθεῖ διὰ τὰς ὑπερμέτρους ὀργάς.

**B 144** = Filodémos, De music. D 31; p. 108, 29 Kemke

Δημόκριτος μὲν τοίνυν, ἀνὴρ οὐ φυσιολογώτατος μόνον τῶν ἀρχαίων, ἀλλὰ καὶ τῶν ἱστορουμένων οὐδενὸς ἧττον πολυπράγμων, μουσικήν φησι νεωτέραν εἶναι καὶ τὴν αἰτίαν ἀποδίδωσι λέγων μὴ ἀποκρῖναι τἀναγκαῖον, ἀλλὰ ἐκ τοῦ περιεῦντος ἤδη γενέσθαι.

**B 144a** = Fótios, Lex. A S. 106, 23 Reitzenst.

ἀναβήσομαι Δημόκριτος· ἐπανεξελεύσομαι [ἐπὶ τὰ] ἐξ ἀρχῆς.

**B 145** = Plútarchos, De puer. ed. 14; p. 9f

λόγος γὰρ ἔργου σκιή, κατὰ Δημόκριτον.

**B 146** = Plútarchos, De prof. in virt. = Quomodo quis suos in virtute sentiat profectus 10; 81b
τὸν λόγον ἐντὸς ἤδη τρεφόμενον καὶ ῥιζούμενον ἐν ἑαυτῶι καὶ κατὰ Δημόκριτον αὐτὸν ἐξ ἑαυτοῦ τὰς τέρψιας ἐθιζόμενον λαμβάνειν.

**B 147** /1 = Plútarchos, De sanit. praec. 14; 129a (cfr. 22 B 13; 22 B 37)
ἄτοπον γάρ ἐστι κοράκων μὲν λαρυγγισμοῖς καὶ κλωσμοῖς ἀλεκτορίδων καὶ συσὶν ἐπὶ φορυτῶι μαργαινούσαις, ὥς ἔφη Δημόκριτος, ἐπιμελῶς προσέχειν σημεῖα ποιουμένους πνευμάτων καὶ ὄμβρων, τὰ δὲ τοῦ σώματος κινήματα καὶ σάλους καὶ προπαθείας μὴ προλαμβάνειν μηδὲ προφυλάττειν μηδὲ ἔχειν σημεῖα χειμῶνος ἐν ἑαυτῶι γενησομένου καὶ μέλλοντος.

**B 147** /2 = Kléméns Alex., Protrepticus 92, 4
Οἱ δὲ σκωλήκων δίκην περὶ τέλματα καὶ βορβόρους, τὰ ἡδονῆς ῥεύματα, καλινδούμενοι ἀνονήτους καὶ ἀνοήτους ἐκβόσκονται τρυφάς, ὑώδεις τινὲς ἄνθρωποι. Ὕες γάρ, φησίν, „ἥδονται βορβόρῳ“ μᾶλλον ἢ καθαρῷ ὕδατι (cfr. 22 B 13; 22 B 37) καὶ „ἐπὶ φορυτῷ μαργαίνουσιν“ κατὰ Δημόκριτον.
Cfr.:
Pseudo-Theofrastos, De sign. 49:
καὶ τὸ πανταχοῦ δὲ λεγόμενον σημεῖον δημόσιον χειμέριον, ὅταν σύες περὶ φορυτοῦ μάχωνται καὶ φύρωσιν.
Arátos, Phaenomena I, 1123:

(...)
οὐδὲ σύες φορυτῷ ἔπι μαργαίνουσαι.

**B 148** = Plútarchos, De amore prolis 3; 495e

ὅταν δὲ τὴν γονὴν ἀναλάβηι προσπεσοῦσαν ἡ ὑστέρα καὶ περιστείληι ῥιζώσεως γενομένης (῾ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρηισιν, ὥς φησι Δημόκριτος, ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῶι γεννωμένωι καρπῶι καὶ μέλλοντι) τοὺς μὲν ἐμμήνους καὶ καθαρσίους ἔκλεισεν ὀχετοὺς ἡ φύσις...

**B 149** = Plútarchos, Animine an corp. aff. 2; 500d
λέγωμεν οὖν ἐν ἡμῖν, ὅτι πολλὰ μέν, ὦ ἄνθρωπε, σοῦ καὶ τὸ σῶμα νοσήματα καὶ πάθη φύσει τε ἀνίησιν ἐξ ἑαυτοῦ καὶ προσπίπτοντα δέχεται θύραθεν· ἂν δὲ σαυτὸν ἀνοίξηις ἔνδοθεν, ποικίλον τι καὶ πολυπαθὲς κακῶν ταμιεῖον εὑρήσεις καὶ θησαύρισμα, ὥς φησι Δημόκριτος, οὐκ ἔξωθεν ἐπιρρεόντων, ἀλλ᾽ ὥσπερ ἐγγείους καὶ αὐτόχθονας πηγὰς ἐχόντων, ἃς ἀνίησιν ἡ κακία πολύχυτος καὶ δαψιλὴς οὖσα τοῖς πάθεσιν.

**B 150** = Plútarchos, Quaest. conv. I, 1, 5; 614de
οὕτω τὰς ψυχὰς αἱ μὲν ἐλαφραὶ ζητήσεις ἐμμελῶς καὶ ὠφελίμως κινοῦσιν, ἐριδαντέων δὲ κατὰ Δημόκριτον καὶ ἱμαντελικτέων λόγους ἀφετέον.

**B 151** = Plútarchos, Quaest. conv. II, 10, 2; 643f
ἐν γὰρ ξυνῶι ἰχθύι ἄκανθαι οὐκ ἔνεισιν, ὥς φησιν ὁ Δημόκριτος.

**B 152** = Plútarchos, Quaest. conv. IV, 2, 4; 665f
τὸ κεραύνιον πῦρ ἀκριβείαι καὶ λεπτότητι θαυμαστόν ἐστιν, αὐτόθεν τε τὴν γένεσιν ἐκ καθαρᾶς καὶ ἁγνῆς ἔχον οὐσίας καὶ πᾶν εἴ τι συμμίγνυται νοτερὸν ἢ γεῶδες αὐτῶι τῆς

περὶ τὴν κίνησιν ὀξύτητος ἀποσειομένης καὶ διακαθαιρούσης.

᾽διόβλητον μὲν οὐδέν, ὥς φησι Δημόκριτος, [οἷον μὴ τὸ] παρ᾽ αἰθρίης στέγειν [εὐαγὲς] σέλας᾽.

**B 153** /1 = Plútarchos, Reip. ger. praec. 28; 821a

τήν γ᾽ ἀληθινὴν τιμὴν καὶ χάριν ἱδρυμένην ἐν εὐνοίαι καὶ διαθέσει τῶν μεμνημένων οὐχ ὑπερόψεται πολιτικὸς ἀνήρ, οὐδέ γε δόξαν ἀτιμάσει φεύγων τὸ τοῖς πέλας ἁνδάνειν, ὡς ἠξίου Δημόκριτος.

**B 153** /2 = Filodémos, De adulat.; pap. 1457 c. 10 (Crönert Kolot. S. 130)

μᾶλλον δὲ καὶ τοῖς ἰδιώταις ἄνευ τῆς τοιαύτης ἀρεσκείας ὁρᾶται κατακτώμενα. Δημόκριτον μέντοι Νικασικράτης ἐπαινῶν κακίζοντα ἐπὶ [τῶι] τοῖς πέ(λ)α(ς) ἁνδάνειν ὡς ζη(μιώδη) τὴν ἀρέσκειαν οὐκ οἶδ᾽ ὅπως ὁμολογεῖ τοῖς περὶ τὸν ᾽Επίκουρον.

**B 154** = Plútarchos, De sollert. anim. 20; 974a

γελοῖοι δ᾽ ἴσως ἐσμὲν ἐπὶ τῶι μανθάνειν τὰ ζῶια σεμνύνοντες, ὧν ὁ Δημόκριτος ἀποφαίνει μαθητὰς ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς· ἀράχνης ἐν ὑφαντικῆι καὶ ἀκεστικῆι, χελιδόνος ἐν οἰκοδομίαι, καὶ τῶν λιγυρῶν, κύκνου καὶ ἀηδόνος, ἐν ὠιδῆι κατὰ μίμησιν.

**B 155** = Plútarchos, De communibus notitiis adversus Stoicos 39; 1079e

ἔτι τοίνυν ὅρα τίνα τρόπον ἀπήντησε [Χρύσιππος] Δημοκρίτωι διαποροῦντι φυσικῶς καὶ ἐπιτυχῶς· εἰ κῶνος τέμνοιτο παρὰ τὴν βάσιν ἐπιπέδωι, τί χρὴ διανοεῖσθαι τὰς τῶν τμημάτων ἐπιφανείας, ἴσας ἢ ἀνίσους γιγνομένας; ἄνισοι μὲν γὰρ οὖσαι τὸν κῶνον ἀνώμαλον παρέξουσι πολλὰς ἀποχαράξεις λαμβάνοντα βαθμοειδεῖς καὶ τραχύτητας, ἴσων δ᾽ οὐσῶν ἴσα τμήματα ἔσται καὶ φανεῖται τὸ τοῦ κυλίνδρου πεπονθὼς ὁ κῶνος, ἐξ ἴσων συγκείμενος καὶ οὐκ ἀνίσων κύκλων, ὅπερ ἐστὶν ἀτοπώτατον.

**B 155a** /1 = Aristotelés, De caelo III, 8; 307a17

Δημοκρίτωι δὲ καὶ ἡ σφαῖρα ὡς γωνία τις οὖσα τέμνει.

**B 155a** /2 = Simplikios, In De caelo 662, 10

ἔστι δὲ ... τὸ σφαιρικὸν ὅλον γωνία (Aristot. 307a 2)· εἰ γὰρ τὸ συγκεκαμμένον ἐστὶ γωνία, ἡ δὲ σφαῖρα καθ᾽ ὅλην ἑαυτὴν συγκέκαμπται, εἰκότως ὅλη γωνία λέγεται.

**B 156** = Plútarchos, Adverus Colotem 4; 1108f

ἐγκαλεῖ δ᾽ αὐτῶι πρῶτον, ὅτι τῶν πραγμάτων ἕκαστον εἰπὼν οὐ μᾶλλον τοῖον ἢ τοῖον εἶναι συγκέχυκε τὸν βίον ἀλλὰ τοσοῦτόν γε Δημόκριτος ἀποδεῖ τοῦ νομίζειν μὴ μᾶλλον εἶναι τοῖον ἢ τοῖον τῶν πραγμάτων ἕκαστον, ὥστε Πρωταγόραι τῶι σοφιστῆι τοῦτο εἰπόντι μεμαχῆσθαι καὶ γεγραφέναι πολλὰ καὶ πιθανὰ πρὸς αὐτόν· οἷς οὐδ᾽ ὄναρ ἐντυχὼν ὁ Κωλώτης ἐσφάλη περὶ λέξιν τοῦ ἀνδρός, ἐν ἧι διορίζεται μὴ μᾶλλον τὸ δὲν ἢ τὸ μηδὲν εἶναι, δὲν μὲν ὀνομάζων τὸ σῶμα, μηδὲν δὲ τὸ κενόν, ὡς καὶ τούτου φύσιν τινὰ καὶ ὑπόστασιν ἰδίαν ἔχοντος.

**B 157** /1 = Plútarchos, Adverus Colotem 32; 1126a

ἐμοὶ δὲ περὶ τούτων οἱ οἰκονομικῶς καὶ πολιτικῶς βεβιωκότες ἐγκαλείτωσαν; εἰσὶ δ᾽ οὗτοι πάντες οἷς Κωλώτης λελοιδόρηκεν. ὧν Δημόκριτος μὲν παραινεῖ τήν τε πολιτικὴν τέχνην μεγίστην οὖσαν ἐκδιδάσκεσθαι καὶ τοὺς πόνους διώκειν, ἀφ᾽ ὧν τὰ μεγάλα καὶ λαμπρὰ γίνονται τοῖς ἀνθρώποις.

**B 157** /2 = Plútarchos, Non posse suaviter vivi secundum Epicurum p. 1100C

... ἀρχὰς ἢ πολιτείας καὶ φιλίας βασιλέων, ἀφ᾽ ὧν τὰ μεγάλα καὶ λαμπρὰ (?) εἰς τὸν βίον γίνεσθαι ἔφη Δημόκριτος.

**B 158** = Plútarchos, De lat. viv. 5; 1129e

ὁ ἥλιος ἀνασχὼν ... συνώρμησε τῶι φωτὶ τὰς πράξεις καὶ τὰς νοήσεις τὰς ἁπάντων, ὥς φησι Δημόκριτος νέα ἐφ᾽ ἡμέρηι φρονέοντες ἄνθρωποι τῆι πρὸς ἀλλήλους ὁρμῆι

καθάπερ ἀρτήματι συντόνωι σπασθέντες ἄλλος ἀλλαχόθεν ἐπὶ τὰς πράξεις ἀνίστανται.

**B 159** /1 = Plútarchos, fragm. de libid. et aegr. 2
ἔοικε παλαιά τις αὕτη τῶι σώματι διαδικασία πρὸς τὴν ψυχὴν περὶ τῶν παθῶν εἶναι. καὶ Δημόκριτος μὲν ἐπὶ τὴν ψυχὴν ἀναφέρων [τὴν αἰτίαν τῆς] κακοδαιμον[ίας] φησίν·
„εἰ τοῦ σώματος αὐτῆι δίκην λαχόντος, παρὰ πάντα τὸν βίον ὧν ὠδύνηται [καὶ] κακῶς πέπονθεν, αὐτὸς γένοιτο τοῦ ἐγκλήματος δι[καστής], ἡδέως ἂν καταψηφίσασθαι τῆς ψυχῆς, ἐφ᾽ οἷς τὰ μὲν ἀπώλεσε τοῦ σώματος ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μέθαις, τὰ δὲ κατέφθειρε καὶ διέσπασε ταῖς φιληδονίαις, ὥσπερ ὀργάνου τινὸς ἢ σκεύους κακῶς ἔχοντος τὸν χρώμενον ἀφειδῶς αἰτιασάμενος“.

**B 159** /2 = Plútarchos, De sanit. praec. 24; 135e
ἐπηρεάζοντες ἑτέροις ἢ φθονοῦντες ἢ φιλονικοῦντες ἢ δόξας ἀκάρπους καὶ κενὰς διώκοντες. πρὸς τούτους γὰρ οἶμαι μάλιστα τὸν Δημόκριτον εἰπεῖν, ὡς εἰ τὸ σῶμα δικάσαιτο τῆι ψυχῆι κακώσεως, οὐκ ἂν αὐτὴν ἀποφυγεῖν.

**B 160** = Porfyrios, De abstinentia IV, 21
τὸ γὰρ κακῶς ζῆν καὶ μὴ φρονίμως καὶ σωφρόνως καὶ ὁσίως Δημόκριτος ἔλεγεν οὐ κακῶς ζῆν εἶναι, ἀλλὰ πολὺν χρόνον ἀποθνήισκειν.

**B 161** = Scholia in Apoll. Rhod. III, 533
τὸ παλαιὸν ὤιοντο τὰς φαρμακίδας τὴν σελήνην καὶ τὸν ἥλιον καθαιρεῖν. διὸ καὶ μέχρι τῶν Δημοκρίτου χρόνων πολλοὶ τὰς ἐκλείψεις καθαιρέσεις ἐκάλουν.

**B 162** = Scholia in Hom. AB ad N 137
Δημόκριτος δὲ τὸ κυλινδρικὸν σχῆμα ὀλοοίτροχον καλεῖ.

**B 163** = Sextos Empeirikos, Adversus mathematicos VII, 53

Ξενιάδης δὲ ὁ Κορίνθιος, οὗ καὶ Δημόκριτος μέμνηται.

**B 164** = Sextos Empeirikos, Adversus mathematicos VII, 116-117

*παλαιὰ* ... δόξα περὶ τοῦ τὰ ὅμοια τῶν ὁμοίων εἶναι γνωριστικά ... (117) ἀλλ᾽ ὁ μὲν Δημόκριτος ἐπί τε τῶν ἐμψύχων καὶ ἀψύχων ἵστησι τὸν λόγον.

᾽καὶ γὰρ ζῶια, φησίν, ὁμογενέσι ζώιοις συναγελάζεται ὡς περιστεραὶ περιστεραῖς καὶ γέρανοι γεράνοις καὶ ἐπὶ τῶν ἄλλων ἀλόγων ὡσαύτως. [ὣς] δὲ καὶ ἐπὶ τῶν ἀψύχων, καθάπερ ὁρᾶν πάρεστιν ἐπί τε τῶν κοσκινευομένων σπερμάτων καὶ ἐπὶ τῶν παρὰ ταῖς κυματωγαῖς ψηφίδων· ὅπου μὲν γὰρ κατὰ τὸν τοῦ κοσκίνου δῖνον διακριτικῶς φακοὶ μετὰ φακῶν τάσσονται καὶ κριθαὶ μετὰ κριθῶν καὶ πυροὶ μετὰ πυρῶν, ὅπου δὲ κατὰ τὴν τοῦ κύματος κίνησιν αἱ μὲν ἐπιμήκεις ψηφῖδες εἰς τὸν αὐτὸν τόπον ταῖς ἐπιμήκεσιν ὠθοῦνται, αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος᾽.

ἀλλ᾽ ὁ μὲν Δημόκριτος οὕτως.

**B 165**

λέγω τάδε περὶ τῶν ξυμπάντων. – ἄνθρωπός ἐστιν ὃ πάντες ἴδμεν...

**B 165** /1 = Sextos Empeirikos, Adversus mathematicos VII, 265

Δημόκριτος δὲ ὁ τῆι Διὸς φωνῆι παρεικαζόμενος καὶ „λέγων τάδε περὶ τῶν ξυμπάντων“ ἐπεχείρησε μὲν τὴν ἐπίνοιαν ἐκθέσθαι, πλεῖον δὲ ἰδιωτικῆς ἀποφάσεως οὐδὲν ἴσχυσεν εἰπών· „ἄνθρωπός ἐστιν ὃ πάντες ἴδμεν.“

**B 165** /2 = Cicero, Academica priora II, 23, 73

quid loquar de Democrito? quem cum eo conferre possumus non modo ingenii magnitudine, sed etiam animi? qui ita sit ausus ordiri „haec loquor de universis“. nihil excipit de quo non profiteatur, quid enim esse potest extra universa? ... atque is non hoc dicit quod nos qui veri esse aliquid non negamus, percipi posse negamus: ille esse verum plane negat sensusque idem non obscuros dicit, sed tenebricosos: sic enim appellat eos.

**B 165** cfr = Aristotelés, De partibus animalium I, 1; 640b29

εἰ μὲν οὖν τῶι σχήματι καὶ τῶι χρώματι ἕκαστον ἔστι τῶν τε ζώιων καὶ τῶν μορίων, ὀρθῶς ἂν Δημόκριτος λέγοι· φαίνεται γὰρ οὕτως ὑπολαβεῖν. φησὶ γοῦν παντὶ δῆλον εἶναι οἷόν τι τὴν μορφήν ἐστιν ὁ ἄνθρωπος, ὡς ὄντος αὐτοῦ τῶι τε σχήματι καὶ τῶι χρώματι γνωρίμου. καίτοι καὶ ὁ τεθνεὼς ἔχει τὴν αὐτὴν τοῦ σχήματος μορφήν, ἀλλ᾽ ὅμως οὐκ ἔστιν ἄνθρωπος.

**B 165** cfr2 = Epikúros fr. 310 in: Sextos Empeirikos, Pyrrhoniae hypotyposesVII, 267

ἄνθρωπός ἐστι τοιουτονὶ μόρφωμα μετ᾽ ἐμψυχίας.

**B 166** = Sextos Empeirikos, Adversus mathematicos IX, 19

Δημόκριτος δὲ εἴδωλά τινά φησιν ἐμπελάζειν τοῖς ἀνθρώποις καὶ τούτων τὰ μὲν εἶναι ἀγαθοποιὰ τὰ δὲ κακοποιά· ἔνθεν καὶ εὔχετο εὐλόγχων τυχεῖν εἰδώλων. εἶναι δὲ ταῦτα μεγάλα τε καὶ ὑπερφυῆ καὶ δύσφθαρτα μέν, οὐκ ἄφθαρτα δέ, προσημαίνειν τε τὰ μέλλοντα τοῖς ἀνθρώποις θεωρούμενα καὶ φωνὰς ἀφιέντα. ὅθεν τούτων αὐτῶν φαντασίαν λαβόντες οἱ παλαιοὶ ὑπενόησαν εἶναι θεόν, μηδενὸς ἄλλου παρὰ ταῦτα ὄντος θεοῦ [τοῦ] ἄφθαρτον φύσιν ἔχοντος.

**B 167** = Simplikios, In Physica 327, 24 (cfr. A 67)

δῖνον ἀπὸ τοῦ παντὸς ἀποκριθῆναι παντοίων ἰδεῶν.

**B 168** = Simplikios, In Physica 1318, 34 (cfr. A 58)

ταῦτα γὰρ ἐκεῖνοι φύσιν ἐκάλουν ... περιπαλάσσεσθαι γὰρ ἔλεγον αὐτά.

**B 169** = Stobaios, Anthologium II (Ecl. eth.), 1, 12 Wachsm.

Δημοκρίτου. μὴ πάντα ἐπίστασθαι προθυμέο, μὴ πάντων ἀμαθὴς γένηι.

**B 170** = Stobaios, Anthologium II, 7, 3i Wachsm.

εὐδαιμονίη ψυχῆς καὶ κακοδαιμονίη.

**B 171** = Stobaios, Anthologium II, 7, 3i Wachsm.

εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκεῖ οὐδὲ ἐν χρυσῶι· ψυχὴ οἰκητήριον δαίμονος.

**B 172** = Stobaios, Anthologium II, 9, 1 (Cfr. Hérakleitos B 61.)

Δημοκρίτου. ἀφ᾽ ὧν ἡμῖν τἀγαθὰ γίγνεται, ἀπὸ τῶν αὐτῶν τούτων καὶ τὰ κακὰ ἐπαυρισκοίμεθ᾽ ἄν, τῶν δὲ κακῶν ἐκτὸς εἴημεν. αὐτίκα ὕδωρ βαθὺ εἰς πολλὰ χρήσιμον καὶ δαὖτε κακόν· κίνδυνος γὰρ ἀποπνιγῆναι. μηχανὴ οὖν εὑρέθη, νήχεσθαι διδάσκειν.

**B 173** = Stobaios, Anthologium II, 9, 2

τοῦ αὐτοῦ. ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ πιστῆται ποδηγετεῖν μηδὲ ὀχεῖν εὐπόρως. οὐ δίκαιον ἐν κακοῖσι τὰ τοιάδε κρίνειν, ἀλλ᾽ ἐν ἀγαθοῖσιν ὧν· τοῖς τε ἀγαθοῖσιν οἷόν τε χρῆσθαι καὶ πρὸς τὰ κακά, εἴ τινι βουλομένωι, ἀλκῆι.

**B 174** = Stobaios, Anthologium II, 9, 3

ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρωται καὶ ἀνακηδής ἐστιν· ὃς δ᾽ ἂν καὶ δίκης ἀλογῆι καὶ τὰ χρὴ ἐόντα μὴ καὶ ἔρρωται καὶ νηκηδής ἐστιν· ὃς δ' ἂν καὶ δίκης ἀλογέῃ καὶ τὰ χρέοντα μὴ ἔρδῃ, τούτῳ πάντα τὰ τοιάδε ἀτερπέα· ὅταν τ' εὖ ἀναμνησθῇ, καὶ δέδοικε καὶ ἑωυτὸν κακίζει.

**B 175** = Stobaios, Anthologium II, 9, 4

οἱ δὲ θεοὶ τοῖσι ἀνθρώποισι διδοῦσι τἀγαθὰ πάντα καὶ πάλαι καὶ νῦν. πλὴν ὁκόσα κακὰ καὶ βλαβερὰ καὶ ἀνωφελέα, τάδε δ᾽ οὔ[τε] πάλαι οὔτε νῦν θεοὶ ἀνθρώποισι δωροῦνται, ἀλλ᾽ αὐτοὶ τοῖσδεσιν ἐμπελάζουσι διὰ νοῦ τυφλότητα καὶ ἀγνωμοσύνην.

**B 176** = Stobaios, Anthologium II, 9, 5

τύχη μεγαλόδωρος, ἀλλ᾽ ἀβέβαιος, φύσις δὲ αὐτάρκης· διόπερ νικᾶι τῶι ἥσσονι καὶ βεβαίωι τὸ μεῖζον τῆς ἐλπίδος.

**B 177** = Stobaios, Anthologium II, 9, 40

Δημοκρίτου. οὔτε λόγος ἐσθλὸς φαύλην πρῆξιν ἀμαυρίσκει οὔτε πρῆξις ἀγαθὴ λόγου βλασφημίηι λυμαίνεται.

**B 178** = Stobaios, Anthologium II, 31, 56

Δημοκρίτου. πάντων κάκιστον ἡ εὐπετείη παιδεῦσαι τὴν νεότητα· αὕτη γάρ ἐστιν ἣ τίκτει τὰς ἡδονὰς ταύτας, ἐξ ὧν ἡ κακότης γίνεται.

**B 179** = Stobaios, Anthologium II, 31, 57

τοῦ αὐτοῦ. ἐξωτικῶς μὴ πονεῖν παῖδες ἀνιέντες οὔτε γράμματ᾽ ἂν μάθοιεν οὔτε μουσικὴν οὔτε ἀγωνίην οὐδ᾽ ὅπερ μάλιστα τὴν ἀρετὴν συνέχει, τὸ αἰδεῖσθαι· μάλα γὰρ ἐκ τούτων φιλεῖ γίγνεσθαι ἡ αἰδώς.

**B 180** = Stobaios, Anthologium II, 31, 58

τοῦ αὐτοῦ. ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.

**B 181** = Stobaios, Anthologium II, 31, 59

τοῦ αὐτοῦ. κρείσσων ἐπ᾽ ἀρετὴν φανεῖται προτροπῆι χρώμενος καὶ λόγου πειθοῖ ἤπερ νόμωι καὶ ἀνάγκηι. λάθρηι μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ

νόμου, τὸν δὲ ἐς τὸ δέον ἡγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρηι οὔτε φανερῶς ἔρδειν τι πλημμελές. διόπερ συνέσει τε καὶ ἐπιστήμηι ὀρθοπραγέων τις ἀνδρεῖος ἅμα καὶ εὐθύγνωμος γίγνεται.

**B 182** = Stobaios, Anthologium II, 31, 66
τοῦ αὐτοῦ. τὰ μὲν καλὰ χρήματα τοῖς πόνοις ἡ μάθησις ἐξεργάζεται, τὰ δ᾽ αἰσχρὰ ἄνευ πόνων αὐτόματα καρποῦται. καὶ γὰρ οὖν οὐκ ἐθέλοντα πολλάκις ἐξείργει τοιοῦτον εἶναι  οὕτω μεγάλης τε τῆς φυτικῆς ἐστι.

**B 183** = Stobaios, Anthologium II, 31, 72
ἔστι που νέων ξύνεσις καὶ γερόντων ἀξυνεσίη· χρόνος γὰρ οὐ διδάσκει φρονεῖν, ἀλλ᾽ ὡραίη τροφὴ καὶ φύσις.

**B 184** = Stobaios, Anthologium II, 31, 90
Δημοκρίτου. φαύλων ὁμιλίη συνεχὴς ἕξιν κακίης συναύξει.

**B 185** = Stobaios, Anthologium II, 31, 94
Δημοκρίτου. κρέσσονές εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.

**B 186** = Stobaios, Anthologium II, 33, 9
Δημοκρίτου. ὁμοφροσύνη φιλίην ποιεῖ.

**B 187** = Stobaios, Anthologium III, 1, 27 Wachsmuth-Hense
Δημοκρίτου. ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λόγον ποιεῖσθαι· ψυχῆς μὲν γὰρ τελεότης σκήνεος μοχθηρίην ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν.

**B 188** = Stobaios, Anthologium III, 1, 46

ὅρος συμφόρων καὶ ἀσυμφόρων τέρψις καὶ ἀτερπίη.

**B 189** = Stobaios, Anthologium III, 1, 47

ἄριστον ἀνθρώπωι τὸν βίον διάγειν ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. τοῦτο δ᾽ ἂν εἴη, εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖσι τὰς ἡδονὰς ποιοῖτο.

**B 190** = Stobaios, Anthologium III, 1, 91

Δημοκρίτου. φαύλων ἔργων καὶ τοὺς λόγους παραιτητέον.

**B 191** = Stobaios, Anthologium III, 1, 210

Δημοκρίτου. ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίηι· τὰ δ᾽ ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μεγάλας κινήσιας ἐμποιεῖν τῆι ψυχῆι. αἱ δ᾽ ἐκ μεγάλων διαστημάτων κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι. ἐπὶ τοῖς δυνατοῖς οὖν δεῖ ἔχειν τὴν γνώμην καὶ τοῖς παρεοῦσιν ἀρκέεσθαι τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀλίγην μνήμην ἔχοντα καὶ τῆι διανοίαι μὴ προσεδρεύοντα, τῶν δὲ ταλαιπωρεόντων τοὺς βίους θεωρέειν, ἐννοούμενον ἃ πάσχουσι κάρτα (?), ὅκως ἂν τὰ παρεόντα σοι καὶ ὑπάρχοντα μεγάλα καὶ ζηλωτὰ φαίνηται, καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι συμβαίνηι κακοπαθεῖν τῆι ψυχῆι. ὁ γὰρ θαυμάζων τοὺς ἔχοντας καὶ μακαριζομένους ὑπὸ τῶν ἄλλων ἀνθρώπων καὶ τῆι μνήμηι πᾶσαν ὥραν προσεδρεύων ἀεὶ ἐπικαινουργεῖν ἀναγκάζεται καὶ ἐπιβάλλεσθαι δι᾽ ἐπιθυμίην τοῦ τι πρήσσειν ἀνήκεστον ὧν νόμοι κωλύουσιν. διόπερ τὰ μὲν μὴ δίζεσθαι χρεών, ἐπὶ δὲ τοῖς εὐθυμέεσθαι χρεών, παραβάλλοντα τὸν ἑαυτοῦ βίον πρὸς τὸν τῶν φαυλότερον πρησσόντων καὶ μακαρίζειν ἑωυτὸν ἐνθυμεύμενον ἃ πάσχουσιν, ὁκόσωι αὐτέων βέλτιον πρήσσει τε καὶ διάγει. ταύτης γὰρ ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε διάξεις καὶ οὐκ ὀλίγας κῆρας ἐν τῶι βίωι διώσεαι, φθόνον καὶ ζῆλον καὶ δυσμενίην.

**B 192** = Stobaios, Anthologium III, 2, 36

Δημοκρίτου. ἔστι ῥάιδιον μὲν ἐπαινεῖν ἃ μὴ χρὴ καὶ ψέγειν, ἑκάτερον δὲ πονηροῦ τινος ἤθους.

**B 193** = Stobaios, Anthologium III, 3, 43

Δημοκρίτου. φρονήσιος ἔργον μέλλουσαν ἀδικίην φυλάξασθαι, ἀναλγησίης δὲ (τὸ) γενομένην μὴ ἀμύνασθαι.

**B 194** = Stobaios, Anthologium III, 3, 46

Δημοκρίτου. αἱ μεγάλαι τέρψεις ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται.

**B 195** = Stobaios, Anthologium III, 4, 69

Δημοκρίτου ... εἴδωλα ἐσθῆτι καὶ κόσμωι διαπρεπέα πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά.

**B 196** = Stobaios, Anthologium III, 4, 70

λήθη τῶν ἰδίων κακῶν θρασύτητα γεννᾶι.

**B 197** = Stobaios, Anthologium III, 4, 71

ἀνοήμονες· υσμοῦνται τοῖς τῆς τύχης κέρδεσιν, οἱ δὲ τῶν τοιῶνδε δαήμονες τοῖς τῆς σοφίης.

**B 198** = Stobaios, Anthologium III, 4, 72

τὸ χρῆιζον οἶδεν, ὁκόσον χρήιζει, ὁ δὲ χρήιζων οὐ γινώσκει.

**B 199** = Stobaios, Anthologium III, 4, 73

ἀνοήμονες τὸ ζῆν ὡς (?) στυγέοντες ζῆν ἐθέλουσι δείματι ἀίδεω.

**B 200** = Stobaios, Anthologium III, 4, 74

ἀνοήμονες βιοῦσιν οὐ τερπόμενοι βιοτῆι.

**B 201** = Stobaios, Anthologium III, 4, 75

ἀνοήμονες δηναιότητος ὀρέγονται οὐ τερπόμενοι δηναιότητι.

**B 202** = Stobaios, Anthologium III, 4, 76

ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται, τὰ δὲ παρεόντα καὶ παρωιχημένων κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν.

**B 203** = Stobaios, Anthologium III, 4, 77

ἄνθρωποι τὸν θάνατον φεύγοντες διώκουσιν.

**B 204** = Stobaios, Anthologium III, 4, 78

ἀνοήμονες οὐδέν᾽ ἁνδάνουσιν (?) ἐν ὅληι τῆι βιοτῆι.

**B 205** = Stobaios, Anthologium III, 4, 79

ἀνοήμονες ζωῆς ὀρέγονται (γήραος) θάνατον δεδοικότες.

**B 206** = Stobaios, Anthologium III, 4, 80

ἀνοήμονες θάνατον δεδοικότες γηράσκειν ἐθέλουσιν.

**B 207** = Stobaios, Anthologium III, 5, 22

Δημοκρίτου. ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῶι καλῶι αἱρεῖσθαι χρεών.

**B 208** = Stobaios, Anthologium III, 5, 24

πατρὸς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.

**B 209** = Stobaios, Anthologium III, 5, 25

Δημοκρίτου. αὐταρκείῃι τροφῆς σμικρὴ νὺξ (?) οὐδέποτε γίνεται.

**B 210** = Stobaios, Anthologium III, 5, 26

Δημοκρίτου. τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.

**B 211** = Stobaios, Anthologium III, 5, 27

Δημοκρίτου. σωφροσύνη τὰ τερπνὰ ἀέξει καὶ ἡδονὴν ἐπιμείζονα ποιεῖ.

**B 212** = Stobaios, Anthologium III, 6, 27

Δημοκρίτου. ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σημαίνουσι.

**B 213** = Stobaios, Anthologium III, 7, 21

Δημοκρίτου. ἀνδρείη τὰς ἄτας μικρὰς ἔρδει.

**B 214** = Stobaios, Anthologium III, 7, 25

Δημοκρίτου. ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων. ἔνιοι δὲ πολίων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν.

**B 215** = Stobaios, Anthologium III, 7, 31

Δημοκρίτου. δίκης κῦδος γνώμης θάρσος καὶ ἀθαμβίη, ἀδικίης δὲ δεῖμα ξυμφορῆς τέρμα.

**B 216** = Stobaios, Anthologium III, 7, 74

Δημοκρίτου. σοφίη ἄθαμβος ἀξίη πάντων (τιμιωτάτη οὖσα).

**B 217** = Stobaios, Anthologium III, 9, 30

Δημοκρίτου. μοῦνοι θεοφιλέες, ὅσοις ἐχθρὸν τὸ ἀδικέειν.

**B 218** = Stobaios, Anthologium III, 10, 36

Δημοκρίτου. πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται.

**B 219** = Stobaios, Anthologium III, 10, 43

τοῦ αὐτοῦ. χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρωι, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη· μέζονες γὰρ ὀρέξεις μέζονας ἐνδείας ποιεῦσιν.

**B 220** = Stobaios, Anthologium III, 10, 44

Δημοκρίτου. κακὰ κέρδεα ζημίαν ἀρετῆς φέρει.

**B 221** = Stobaios, Anthologium III, 10, 58

Δημοκρίτου. ἐλπὶς κακοῦ κέρδεος ἀρχὴ ζημίης.

**B 222** = Stobaios, Anthologium III, 10, 64

Δημοκρίτου. ἡ τέκνοις ἄγαν χρημάτων συναγωγὴ πρόφασίς ἐστι φιλαργυρίης τρόπον ἴδιον ἐλέγχουσα.

**B 223** = Stobaios, Anthologium III, 10, 65

τοῦ αὐτοῦ. ὧν τὸ σκῆνος χρήιζει, πᾶσι πάρεστιν εὐμαρέως ἄτερ μόχθου καὶ ταλαιπωρίης· ὁκόσα δὲ μόχθου καὶ ταλαιπωρίης χρήιζει καὶ βίον ἀλγύνει, τούτων οὐκ ἱμείρεται τὸ σκῆνος, ἀλλ᾽ ἡ τῆς γνώμης κακοθιγίη (?).

**B 224** = Stobaios, Anthologium III, 10, 68

Δημοκρίτου. ἡ τοῦ πλέονος ἐπιθυμίη τὸ παρεὸν ἀπόλλυσι τῆι Αἰσωπείηι κυνὶ (233 H.) ἰκέλη γινομένη.

**B 225** = Stobaios, Anthologium III, 12, 13 (= B 44)

Δημοκρίτου. ἀληθομυθέειν χρεών, οὐ πολυλογέειν.

**B 226** = Stobaios, Anthologium III, 12, 47

Δημοκρίτου. οἰκήιον ἐλευθερίης παρρησίη, κίνδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις.

**B 227** = Stobaios, Anthologium III, 16, 17

Δημοκρίτου. οἱ φειδωλοὶ τὸν τῆς μελίσσης οἶτον ἔχουσιν ἐργαζόμενοι ὡς ἀεὶ βιωσόμενοι.

**B 228** = Stobaios, Anthologium III, 16, 18

τοῦ αὐτοῦ. οἱ τῶν φειδωλῶν παῖδες ἀμαθέες γινόμενοι, ὥσπερ οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας ὀρούοντες, ἢν ἑνὸς μούνου [μὴ] τύχωσι καταφερόμενοι, ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται (χαλεπὸν δὲ τυχεῖν ἑνός· τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν ποδῶν) οὕτω δὲ καὶ οὗτοι, ἢν ἁμάρτωσι τοῦ πατρικοῦ τύπου τοῦ ἐπιμελέος καὶ φειδωλοῦ, φιλέουσι διαφθείρεσθαι.

**B 229** = Stobaios, Anthologium III, 16, 19

τοῦ αὐτοῦ. φειδώ τοι καὶ λιμὸς χρηστή· ἐν καιρῶι δὲ καὶ δαπάνη· γινώσκειν δὲ ἀγαθοῦ.

**B 230** = Stobaios, Anthologium III, 16, 22

Δημοκρίτου. βίος ἀνεόρταστος μακρὴ ὁδὸς ἀπανδόκευτος.

**B 231** = Stobaios, Anthologium III, 17, 25

Δημοκρίτου. εὐγνώμων ὁ μὴ λυπεόμενος ἐφ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷσιν ἔχει.

**B 232** = Stobaios, Anthologium III, 17, 37

Δημοκρίτου. τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα μάλιστα τέρπει.

**B 233** = Stobaios, Anthologium III, 17, 38

τοῦ αὐτοῦ. εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίγνοιτο.

**B 234** = Stobaios, Anthologium III, 18, 30

Δημοκρίτου. ὑγιείην εὐχῆισι παρὰ θεῶν αἰτέονται ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν ἐν ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν· ἀκρασίηι δὲ τἀναντία πρήσσοντες αὐτοὶ προδόται τῆς ὑγείης τῆισιν ἐπιθυμίηισιν γίνονται.

**B 235** = Stobaios, Anthologium III, 18, 35

Δημοκρίτου. ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται ὑπερβεβληκότες τὸν καιρὸν ἐπὶ βρώσεσιν ἢ πόσεσιν ἢ ἀφροδισίοισιν, τοῖσι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι᾽ ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι πολλαί. τοῦτο μὲν γὰρ τὸ ἐπιθυμεῖν ἀεὶ τῶν αὐτῶν πάρεστι καὶ ὁκόταν γένηται ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται, καὶ οὐδὲν ἐν αὐτοῖσι χρηστόν ἐστιν ἄλλ᾽ ἢ τέρψις βραχεῖα, καὶ αὖθις τῶν αὐτῶν δεῖ.

**B 236** = Stobaios, Anthologium III, 20, 56

Δημοκρίτου. θυμῶι μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου.

**B 237** = Stobaios, Anthologium III, 20, 62

Δημοκρίτου. φιλονικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θεωρεῦσα τὸ ἴδιον συμφέρον οὐ βλέπει.

**B 238** = Stobaios, Anthologium III, 22, 42

Δημοκρίτου. τελευτᾶι γὰρ ἐς κακοδοξίην (κακὴν) ὁ παρεκτεινόμενος τῶι κρέσσονι.

**B 239** = Stobaios, Anthologium III, 28, 13

Δημοκρίτου. ὅρκους οὓς ποιέονται ἐν ἀνάγκηισιν ἐόντες οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν διαφύγωσιν.

**B 240** = Stobaios, Anthologium III, 29, 63. 83a

Δημοκρίτου. οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι.

**B 241** = Stobaios, Anthologium III, 29, 64

τοῦ αὐτοῦ. πόνος συνεχὴς ἐλαφρότερος ἑαυτοῦ συνηθείηι γίνεται.

**B 242** = Stobaios, Anthologium III, 29, 66

Δημοκρίτου. πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος.

**B 243** = Stobaios, Anthologium III, 29, 88

Δημοκρίτου. τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες. ἐν δὲ ἑκάστηι ἀποτυχίηι τὸ πονεῖν(?) ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον.

**B 244** = Stobaios, Anthologium III, 31, 7

Δημοκρίτου. φαῦλον, κἂν μόνος ἦις, μήτε λέξηις μήτ᾽ ἐργάσηι· μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

**B 245** = Stobaios, Anthologium III, 31, 53

Δημοκρίτου. οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ᾽ ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο· φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

**B 246** = Stobaios, Anthologium III, 40, 6

Δημοκρίτου. ξενιτείη βίου αὐτάρκειαν διδάσκει· μᾶζα γὰρ καὶ στιβὰς λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.

**B 247** = Stobaios, Anthologium III, 40, 7

τοῦ αὐτοῦ. ἀνδρὶ σοφῶι πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

**B 248** = Stobaios, Anthologium IV, 1, 33

Δημοκρίτου. ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δέ, ὅταν αὐτοὶ βούλωνται πάσχειν εὖ· τοῖσι γὰρ πειθομένοισι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται.

**B 249** = Stobaios, Anthologium IV, 1, 34

τοῦ αὐτοῦ. στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις. ὁμοίη φθορή.

**B 250** = Stobaios, Anthologium IV, 1, 40

Δημοκρίτου. ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ᾽ οὔ.

**B 251** = Stobaios, Anthologium IV, 1, 42

Δημοκρίτου. ἡ ἐν δημοκρατίηι πενίη τῆς παρὰ τοῖς δυνάστηισι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.

**B 252** = Stobaios, Anthologium IV, 1, 43

τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅκως ἄξεται εὖ, μήτε φιλονικέοντα παρὰ τὸ ἐπιεικὲς μήτε ἰσχὺν ἑαυτῶι περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ. πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι, καὶ ἐν τούτωι πάντα ἔνι, καὶ τούτου σωιζομένου πάντα σώιζεται καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται.

**B 253** = Stobaios, Anthologium IV, 1, 44

τοῖς χρηστοῖσιν οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα πρήσσειν· τὰ γὰρ ἴδια κακῶς ἔσχεν. εἰ δὲ ἀμελέοι τις τῶν δημοσίων, κακῶς ἀκούειν γίγνεται, καὶ ἢν μηδὲν μήτε κλέπτηι μήτε ἀδικῆι. ἐπεὶ καὶ [μὴ] ἀμελέοντι ἢ ἀδικέοντι κίνδυνος κακῶς ἀκούειν καὶ δὴ καὶ παθεῖν τι· ἀνάγκη δὲ ἁμαρτάνειν, συγγινώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.

**B 254** = Stobaios, Anthologium IV, 1, 45

οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσωι ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτωι μᾶλλον ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται.

**B 255** = Stobaios, Anthologium IV, 1, 46

ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι καὶ προτελεῖν τολμέωσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι, ἐν τούτωι ἤδη καὶ τὸ οἰκτίρειν ἔνεστι καὶ μὴ ἐρήμους εἶναι καὶ τὸ ἑταίρους γίγνεσθαι, καὶ τὸ ἀμύνειν ἀλλήλοισι καὶ τοὺς πολιήτας ὁμονόους εἶναι καὶ ἄλλα ἀγαθά, ἅσσα οὐδεὶς ἂν δύναιτο καταλέξαι.

**B 256** = Stobaios, Anthologium IV, 2, 14

δίκη μέν ἐστιν ἔρδειν τὰ χρὴ ἐόντα, ἀδικίη δὲ μὴ ἔρδειν τὰ χρὴ ἐόντα, ἀλλὰ παρατρέπεσθαι.

**B 257** = Stobaios, Anthologium IV, 2, 15

τοῦ αὐτοῦ. κατὰ δὲ ζώιων ἔστιν ὧν φόνου καὶ μὴ φόνου ὧδε ἔχει· τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν ἀθῶιος ὁ κτείνων, καὶ πρὸς εὐεστοῦν τοῦτο ἔρδειν μᾶλλον ἢ μή.

**B 258** = Stobaios, Anthologium IV, 2, 16

κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντὸς· καὶ ταῦτα ὁ ποιῶν εὐθυμίης (?) καὶ δίκης καὶ θάρσεος καὶ κτήσεως (?) ἐν παντὶ κόσμωι μέζω μοῖραν μεθέξει.

**B 259** = Stobaios, Anthologium IV, 2, 17
ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι ποιεῖν· κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμωι, ἐν ὧι μὴ νόμος ἀπείργει· ἀπείργει δὲ ἱερὰ ἑκάστοισι ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅρκοι.

**B 260** = Stobaios, Anthologium IV, 4, 18
κιξάλλην καὶ ληιστὴν πάντα κτείνων τις ἀθῶιος ἂν εἴη καὶ αὐτοχειρίηι καὶ κελεύων καὶ ψήφωι.

**B 261** = Stobaios, Anthologium IV, 5, 43
Δημοκρίτου. ἀδικουμένοισι τιμωρεῖν κατὰ δύναμιν χρὴ καὶ μὴ παρίέναι· τὸ μὲν γὰρ τοιοῦτον δίκαιον καὶ ἀγαθόν, τὸ δὲ μὴ τοιοῦτον ἄδικον καὶ κακόν.

**B 262** = Stobaios, Anthologium IV, 5, 44
Δημοκρίτου. καὶ οἳ φυγῆς ἄξια ἔρδουσιν ἢ δεσμῶν, ἢ θωιῆς ἄξιοι, καταψηφιστέον καὶ μὴ ἀπολύειν· ὃς δ᾽ ἂν παρὰ νόμον ἀπολύηι κέρδει ὁρίζων ἢ ἡδονῆι, ἀδικεῖ, καί οἱ τοῦτο ἐγκάρδιον ἀνάγκη εἶναι.

**B 263** = Stobaios, Anthologium IV, 5, 45
τοῦ αὐτοῦ. δίκης καὶ ἀρετῆς μεγίστην μετέχει μοῖραν ὁ (τιμὰς) ἀξίας τὰς μεγίστας τάμνων [τοῖς ἀξιωτάτοις] (?).

**B 264** = Stobaios, Anthologium IV, 5, 46

τοῦ αὐτοῦ. μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ μηδέ τι μᾶλλον ἐξεργάζεσθαι κακόν, εἰ μέλλει μηδεὶς εἰδήσειν ἢ οἱ πάντες ἄνθρωποι· ἀλλ᾽ ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῆι ψυχῆι καθεστάναι, ὥστε μηδὲν ποιεῖν ἀνεπιτήδειον.

**B 265** = Stobaios, Anthologium IV, 5, 47

τοῦ αὐτοῦ. τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον ἢ τῶν εὖ πεποιημένων. καὶ γὰρ δίκαιον οὕτως· ὥσπερ [γὰρ τὸν] τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδιδόντα κακῶς ἀκούειν καὶ πάσχειν, οὕτω καὶ τὸν ἄρχοντα. οὐ γὰρ ἐπὶ τούτωι ἡιρέθη ὡς κακῶς ποιήσων, ἀλλ᾽ ὡς εὖ.

**B 266** = Stobaios, Anthologium IV, 5, 48

τοῦ αὐτοῦ. οὐδεμία μηχανὴ τῶι νῦν καθεστῶτι ·υθμῶι μὴ οὐκ ἀδικεῖν τοὺς ἄρχοντας, ἢν καὶ πάνυ ἀγαθοὶ ἔωσιν. οὐδενὶ γὰρ ἄλλωι ἔοικεν ἢ ἑωυτῶι τὸν [***] αὐτὸν ἐφ᾽ ἑτέροισι γίγνεσθαι· δεῖ δέ κως οὕτω καὶ ταῦτα κοσμηθῆναι, ὅκως ὁ μηδὲν ἀδικέων, ἢν καὶ πάνυ ἐτάζηι τοὺς ἀδικέοντας, μὴ ὑπ᾽ ἐκείνους γενήσεται, ἀλλά τις ἢ θεσμὸς ἤ τι ἄλλο ἀμυνεῖ τῶι τὰ δίκαια ποιεῦντι.

**B 267** = Stobaios, Anthologium IV, 6, 19

Δημοκρίτου. φύσει τὸ ἄρχειν οἰκήιον τῶι κρέσσονι.

**B 268** = Stobaios, Anthologium IV, 7, 13

Δημοκρίτου. φόβος κολακείην μὲν ἐργάζεται, εὔνοιαν δὲ οὐκ ἔχει.

**B 269** = Stobaios, Anthologium IV, 10, 28

Δημοκρίτου. τόλμα πρήξιος ἀρχή, τύχη δὲ τέλεος κυρίη.

**B 270** = Stobaios, Anthologium IV, 19, 45

Δημοκρίτου. οἰκέταισιν ὡς μέρεσι τοῦ σκήνεος χρῶ ἄλλωι πρὸς ἄλλο.

**B 271** = Stobaios, Anthologium IV, 20, 33

Δημοκρίτου. ἐρωτικὴν μέμψιν ἡ ἀγαπωμένη (?) λύει.

**B 272** = Stobaios, Anthologium IV, 22, 108

Δημοκρίτου. Δημόκριτος ἔφη, ὡς γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν υἱόν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

**B 273** = Stobaios, Anthologium IV, 22, 199

Δημοκρίτου. γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.

**B 274** = Stobaios, Anthologium IV, 23, 38

Δημοκρίτου. κόσμος ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κόσμου λιτότης.

**B 275** = Stobaios, Anthologium IV, 24, 29

Δημοκρίτου. τεκνοτροφίη σφαλερόν· τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μεστὴν καὶ φροντίδος κέκτηται, τὴν δὲ ἀποτυχίην ἀνυπέρθετον ἑτέρηι ὀδύνηι.

**B 276** = Stobaios, Anthologium IV, 24, 31

Δημοκρίτου. οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα.

**B 277** = Stobaios, Anthologium IV, 24, 32

τοῦ αὐτοῦ. ὅτεωι χρήμη τεά ἐστι παῖδα ποιήσασθαι, ἐκ τῶν φίλων τεύ μοι δοκεῖ ἄμεινον εἶναι. καὶ τῶι μὲν παῖς ἔσται τοιοῦτος, οἷον ἂν βούληται· ἔστι γὰρ ἐκλέξασθαι οἷον ἐθέλει· καὶ ὃς ἂν δοκῆι ἐπιτήδειος εἶναι, κἂν μάλιστα κατὰ φύσιν

ἕποιτο. καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν, οἷον ἂν δέηι. ἢν δέ τις ποιῆται ἀπὸ ἑωυτοῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτωι χρῆσθαι.

**B 278** = Stobaios, Anthologium IV, 24, 33
ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι παῖδας κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης. δῆλον δὲ καὶ τοῖς ἄλλοις ζώιοισι· πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα· ἀλλ᾽ ὅταν γένηται, ταλαιπωρεῖ καὶ τρέφει ἕκαστον ὡς δύναται καὶ ὑπερδέδοικε, μέχρι σμικρὰ ἧι, καὶ ἤν τι πάθηι, ἀνιᾶται. ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶν ὅσσα ψυχὴν ἔχει· τῶι δὲ δὴ ἀνθρώπωι νομίζον ἤδη πεποίηται, ὥστε καὶ ἐπαύρεσίν τινα γίγνεσθαι ἀπὸ τοῦ ἐκγόνου.

**B 279** = Stobaios, Anthologium IV, 26, 25
Δημοκρίτου. τοῖς παισὶ μάλιστα χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χρήματα, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν ποιέωσι διὰ χειρὸς ἔχοντες· ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γίγνονται ἐς τὰ χρήματα καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν. ἐν γὰρ τῶι ξυνῶι τὰ τελεύμενα οὐκ ἀνιᾶι ὥσπερ ἰδίηι οὐδ᾽ εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ πολλῶι ἧσσον.

**B 280** = Stobaios, Anthologium IV, 26, 26
τοῦ αὐτοῦ. ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.

**B 281** = Stobaios, Anthologium IV, 31, 49
Δημοκρίτου. ὥσπερ ἐν (μὲν) τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς χρήμασι τὸ ... (μὴ προσαρμόσαν καὶ τὸ συνεχές).

**B 282** = Stobaios, Anthologium IV, 31, 120

Δημοκρίτου. χρημάτων χρῆσις ξὺν νόωι μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίηι δὲ χορηγίη ξυνή (?).

**B 283** = Stobaios, Anthologium IV, 33, 23

Δημοκρίτου. πενίη πλοῦτος ὀνόματα ἐνδείης καὶ κόρου· οὔτε οὖν πλούσιος [ὁ] ἐνδέων οὔτε πένης ὁ μὴ ἐνδέων.

**B 284** = Stobaios, Anthologium IV, 33, 24. 25

τοῦ αὐτοῦ. ἢν μὴ πολλῶν ἐπιθυμέηις, τὰ ὀλίγα τοι πολλὰ δόξει· σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα πλούτωι ποιέει.

**B 285** = Stobaios, Anthologium IV, 33, 65

Δημοκρίτου. γινώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον πολλῆισίν τε κηρσὶ συμπεφυρμένην καὶ ἀμηχανίηισιν, ὅκως ἄν τις μετρίης τε κτήσιος ἐπιμέληται καὶ μετρῆται ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη.

**B 286** = Stobaios, Anthologium IV, 39, 17

Δημοκρίτου. εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος.

**B 287** = Stobaios, Anthologium IV, 40, 20

Δημοκρίτου. ἀπορίη ξυνὴ τῆς ἑκάστου χαλεπωτέρη· οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίης.

**B 288** = Stobaios, Anthologium IV, 40, 21

νόσος οἴκου καὶ βίου γίνεται ὅκωσπερ καὶ σκήνεος.

**B 289** /1 = Stobaios, Anthologium IV, 41, 59

Δημοκρίτου. οὐκ ἔστιν οὕτως ἀσφαλὴς πλούτου πυλεών, ὃν οὐκ ἀνοίγει τύχης καιρός.

**B 289** /2 = Stobaios, Anthologium IV, 44, 64

Δημοκρίτου. ἀλογιστίη μὴ ξυγχωρέειν ταῖσι κατὰ τὸν βίον ἀνάγκαις.

**B 290** = Stobaios, Anthologium IV, 44, 67

Δημοκρίτου. λύπην ἀδέσποτον ψυχῆς ναρκώσης λογισμῶι ἔκκρουε.

**B 291** = Stobaios, Anthologium IV, 44, 70

τοῦ αὐτοῦ. πενίην ἐπιεικέως φέρειν σωφρονέοντος.

**B 292** = Stobaios, Anthologium IV, 46, 19

Δημοκρίτου. ἄλογοι τῶν ἀξυνέτων αἱ ἐλπίδες.

**B 293** = Stobaios, Anthologium IV, 48, 10

Δημοκρίτου. οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσιν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς.

**B 294** = Stobaios, Anthologium IV, 50, 20

Δημοκρίτου. ἰσχὺς καὶ εὐμορφίη νεότητος ἀγαθά, γήραος δὲ σωφροσύνη ἄνθος.

**B 295** = Stobaios, Anthologium IV, 50, 22

Δημοκρίτου. ὁ γέρων νέος ἐγένετο, ὁ δὲ νέος ἄδηλον εἰ ἐς γῆρας ἀφίξεται· τὸ τέλειον οὖν ἀγαθὸν τοῦ μέλλοντος ἔτι καὶ ἀδήλου κρέσσον.

**B 296** = Stobaios, Anthologium IV, 50b, 76

Δημοκρίτου. γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ᾽ ἔχει καὶ πᾶσιν ἐνδεῖ.

**B 297** = Stobaios, Anthologium IV, 52, 40 (IV, 34, 62)

Δημοκρίτου. ἔνιοι θνητῆς φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, συνειδήσει δὲ τῆς ἐν τῶι βίωι κακοπραγμοσύνης, τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνου.

**B 298** = Suidás, Lexicon, s.v. *α*.

βραχέως δὲ καὶ δασέως (ἅ) τὸ ἅτινα ὡς παρ᾽ Ἱπποκράτει, παρὰ δὲ Δημοκρίτωι ἴδια, παρ᾽ Ὁμήρωι τὰ ἑαυτοῦ.

**B 298a** = Démétrios, De poem. II. 20 (Voll. herc.2; V, 16 fr. 28, 4 Crönert Kolot. S. 107. 130.)

᾽ἐρώ[ει], φη[σί], σαφῶς τὸν ἐν τῶι θώρηκί σου συνιστάμενον θυμὸν καὶ ταράσ[σειν] τὴν ψυχὴν φυλάσ[σου] μηδὲ πάντα ἐπίτρεπε τῆι γλώσσηι [πρή]γματ᾽ αἰεί.᾽ φυλάσσειν [ο]ὗ[ν τοῦ]το δεῖν [ἡ]μ[ᾶς] τὸ [μέρος] ἐν ὧ[ι κεῖται τὸ θυμικόν].

ΠΕΡΙ ΤΩΝ ΕΝ ΒΑΒΥΛΩΝΙ ΙΕΡΩΝ ΓΡΑΜΜΑΤΩΝ

**B 299** = Kléméns Alex., Stromata I, 16, 4-6

(4) Δημόκριτος γὰρ τοὺς Βαβυλωνίους λόγους ἠθικοὺς (?) πεποίηται· λέγεται γὰρ τὴν ᾽Ακικάρου στήλην ἑρμηνευθεῖσαν τοῖς ἰδίοις συντάξαι συγγράμμασι. κἄστιν ἐπισημήνασθαι παρ᾽ αὐτοῦ ᾽τάδε λέγει Δημόκριτος᾽ γράφοντος.

(5) ναὶ μὴν καὶ περὶ αὑτοῦ (γράφει), ἧι σεμνυνόμενός φησί που ἐπὶ πολυμαθίαι.

᾽ἐγὼ δὲ τῶν κατ᾽ ἐμαυτὸν ἀνθρώπων γῆν πλείστην ἐπεπλανησάμην ἱστορέων τὰ μήκιστα καὶ ἀέρας τε καὶ γέας πλείστας εἶδον καὶ λογίων ἀνδρῶν πλείστων ἐπήκουσα καὶ γραμμέων συνθέσιος μετὰ ἀποδείξεως οὐδείς κώ με παρήλλαξεν οὐδ᾽ οἱ Αἰγυπτίων καλεόμενοι ᾽Αρπεδονάπται· σὺν τοῖς δ᾽ ἐπὶ πᾶσιν ἐπ᾽ ἔτεα ὀγδώκοντα ἐπὶ ξείνης ἐγενήθην᾽.

(6) ἐπῆλθε γὰρ Βαβυλῶνά τε καὶ Περσίδα καὶ Αἴγυπτον τοῖς τε μάγοις καὶ τοῖς ἱερεῦσι μαθητεύων.

**B 299a-h**

ΠΕΡΙ ΤΩΝ ΕΝ ΜΕΡΟΗΙ

ΩΚΕΑΝΟΥ ΠΕΡΙΠΛΟΥΣ

ΠΕΡΙ ΙΣΤΟΡΙΗΣ

ΧΑΛΔΑΙΚΟΣ ΛΟΓΟΣ

ΦΡΥΓΙΟΣ ΛΟΓΟΣ

ΠΕΡΙ ΠΥΡΕΤΟΥ ΚΑΙ ΤΩΝ ΑΠΟ ΝΟΣΟΥ ΒΗΣΣΟΝΤΩΝ

ΝΟΜΙΚΑ ΑΙΤΙΑ

ΧΕΡΝΙΚΑ (seu ΧΕΡΝΙΒΑ) Η ΠΡΟΒΛΗΜΑΤΑ

**B 300**

ΒΩΛΟΥ ΧΕΙΡΟΚΜΗΤΑ υνδ ΦΥΣΙΚΑ ΔΥΝΑΜΕΡΑ (ΠΕΡΙ ΣΥΜΠΑΘΕΙΩΝ ΚΑΙ ΑΝΤΙΠΑΘΕΙΩΝ)

**B 300,1** /1 = Súda

Βῶλος Μενδήσιος Πυθαγόρειος. Περὶ τῶν ἐκ τῆς ἀναγνώσεως τῶν ἱστοριῶν εἰς ἐπίστασιν ἡμᾶς ἀγόντων, Περὶ θαυμασίων, Φυσικὰ δυναμερά· ἔχει δὲ Περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν ... λίθων κατὰ στοιχεῖον, Περὶ σημείων τῶν ἐξ ἡλίου καὶ σελήνης καὶ ἄρκτου καὶ λύχνου καὶ ἴριδος.

**B 300,1** /2

Βῶλος Δημόκριτος φιλόσοφος. Ἱστορίαν καὶ Τέχνην ἰατρικήν (ἔχει δὲ ἰάσεις φυσικὰς ἀπό τινων βοηθημάτων τῆς φύσεως).

**B 300,2** /1 = Vitruvius IX pr. 14

admiror etiam Democriti De rerum natura volumina et eius commentarium quod inscribitur [Χειροκμήτων], in quo etiam utebatur anulo, [ut] signaret cera molli quae esset expertus.

**B 300,2** /2 = Plinius, Naur. hist. XXIV, 160

Democriticerte Chirocmeta esse constat at in his ille post Pythagoram magorum studiosissimus quanto portentosiora tradit! ut aglaophotim herbam quae admiratione hominum propter eximium colorem acceperit nomen, in marmoribus Arabiae nascentem Persico latere, qua de causa et marmaritim vocari. hac magos uti, cum velint deos evocare. (167) adiecit his Apollodorus adsectator eius (cfr. c. 74) herbam aeschynomenen.

**B 300,3** /1 = Columella VII, 5, 17

sed Aegyptiae gentis auctor memorabilis Bolus Mendesius, cuius commenta quae appellantur graece Χειρόκμητα sub nomine Democriti falso produntur, censet propter hanc (pusula) saepius ac diligenter ovium terga perspicere, ut si forte sit in aliqua tale vitium deprehensum confestim scrobem defodiamus in limine stabuli et vivam pecudem quae fuerit pusulosa resupinam obruamus patiamurque super obrutam meare totum gregem, quod eo facto morbus propulsetur.

**B 300,3** /2 = Columella XI, 3, 53

nos autem leviore opera istud fieri apud Aegyptiae gentis Bolum Mendesium legimus, qui praecipit aprico et stercoroso loco alternis ordinibus ferulas alternis rubos in hortis consitas habere. deinde eas confecto aequinoctio paululum infra terram secare etc. (61) veteres quidam auctores ut Democritus praecipiunt semina omnia suco herbae quae sedum appellatur medicare eodemque remedio adversus bestiolas uti. (64) sed Democritus in eo libro qui graece inscribitur Περὶ ἀντιπαθῶν affirmat has ipsas bestiolas enecari, si mulier quae in menstruis est solutis crinibus et nudo pede unamquamque aream ter circumeat: post hoc enim decidere omnes vermiculos et ita emori.

**B 300,4** = Schol. Nicandr. Ther. 764

Βῶλος δὲ ὁ Δημοκρίτειος ἐν τῶι Περὶ συμπαθῶν καὶ ἀντιπαθῶν Πέρσας φησὶν ἔχοντας παρ᾽ ἑαυτοῖς θανάσιμον φυτὸν φυτεῦσαι ἐν Αἰγύπτωι ὡς πολλῶν

μελλόντων ἀναιρεθήσεσθαι, τὴν δὲ ἀγαθὴν οὖσαν εἰς τοὐναντίον μεταβαλεῖν ποιῆσαί τε τὸ φυτὸν καρπὸν γλυκύτατον.

**B 300,4a** = Crateuas 18, 14 ed. M. Wellmann
᾿Αναγαλλίδες ... χρῶνται δ᾿ αὐτῆι καὶ εἰς τὰς Δημοκρίτου δυνάμεις.

**B 300,5** = Plútarchos, Quaest. conv. II, 7, 1; 641b
ἦσαν δὲ καὶ οἱ τὰς ἀντιπαθείας θρυλοῦντες καὶ ἄλλα πολλὰ παθόντων (?) ἦν ἀκούειν· ὅτι μαινόμενον ἐλέφαντα καταπαύει κριὸς ὀφθείς ...

**B 300,6** /1 = Plinius, Natur. hist. XXV, 23
composuit et Democritus, ambo peragratis Persidis, Arabiae, Aethiopiae, Aegypti magis adeoque ad haec attonita antiquitas fuit, ut adfirmaverit etiam incredibilia dictu.

**B 300,6** /2 = Petron. 88, 2
priscis enim temporibus, cum adhuc nuda virtus placeret, vigebant artes ingenuae summumque certamen inter homines erat, ne quid profuturum saeculis diu lateret. itaque herbarum omnium sucos Democritus expressit, et ne lapidum virgultorumque vis lateret, aetatem inter experimenta consumpsit.

**B 300,7** /1 = Galénos, De simpl. medic. X, 1 (XII, 250 K.)
παραπλήσια δὲ τῶι Ξενοκράτει καὶ ἄλλοι τινὲς ἔγραψαν περὶ ζώιων, ἐξ ὧν καὶ αὐτὸς ὁ Ξενοκράτης ἐξεγράψατο τὰ πλεῖστα. πόθεν γὰρ ἂν ηὐπόρησε τοσούτων τε καὶ τοιούτων πραγμάτων αὐτὸς πειραθῆναι; ὁ γοῦν ἡμέτερος γενόμενός ποτε βασιλεὺς Ἄτταλος ἐλάττονα φαίνεται γράφων καίτοι φιλοτιμότατα σχὼν περὶ τὴν τῶν τοιούτων πεῖραν. ἐπαινῶν δέ τις τῶν ἑταίρων [῾Ερμοῦ] τὴν αὐτὴν πραγματείαν ἔδωκέ μοι καὶ αὐτὴν διελθεῖν, ὥς γε ἐμοὶ δοκεῖ χωρὶς αὐτοψίας ἰδίας τοῦ γράψαντος αὐτὴν γεγονυῖαν. ἐγὼ τοίνυν οὔτε βασιλίσκων οὔτε ἐλεφάντων οὔθ᾿ ἵππων Νειλώων οὔτ᾿ ἄλλου τινὸς ... μνημονεύσω.

**B 300,7** /2 = Plinius, Natur. hist. XXVIII, 112
chamaeleonem peculiari volumine (!) dignum existimatum Democrito ...

**B 300,7** /3 = Gellius, X, 12, 1 (cfr. 6)
his portentis atque praestigiis a Plinio Secundo scriptis non dignum esse cognomen Democriti puto, vel illud quale est quod idem Plinius in decimo libro (§ 137) scripsisse adseverat aves quasdam etc. ... (8) multa autem videntur ab hominibus istis male sollertibus huiuscemodi commenta in Democriti nomen data nobilitatis auctoritatisque eius perfugio utentibus.

**B 300,7** /3cfr = Gellius, X, 12, 1
viperarum morsibus tibicinium scite modulateque adhibitum mederi refert etiam Democriti liber qui inscribitur *** in quo docet plurimis hominum morbidis medicinae fuisse incentiones tibiarum.

**B 300,7a** = Anonym. Rohdei (Kl. Schr. I, 397)
Δημόκριτος δὲ ἱστορεῖ ὡς καὶ αὐτόπτης τοῦ ζώιου γεγονὼς ταῦτα·

ʾὁ βασιλίσκος ὁ κινάδης (οὕτω γὰρ αὐτὸν καλεῖ) ἔστι μὲν κατὰ τὸ σῶμα ὀλίγος, νωθὴς δὲ κατὰ τὴν κίνησιν, ὀξυκέφαλος, ἀστεροειδὲς βασίλειον ἔχων ἐπὶ τῆς κεφαλῆς, ξανθὸς τὴν χροιάν, ἀσύγκριτος τὴν ἰσχὺν καὶ ἀνυπέρβλητος. εὑρίσκεται δὲ ἐν τοῖς ἐπέκεινα τόποις τῆς Λιβύης τῆς κατὰ Κυρήνην, ὅπου καὶ τὸ τῶν ἀνθρώπων τῶν καλουμένων Ψύλλων γένος. τὰ γὰρ ἀπὸ τοῦ κινάδου δήγματα ὑπὸ τῶν Ψύλλων θεραπεύεται. ἀντιπαθὴς δὲ τῶι κινάδηι ἐστὶν ἡ κατοικίδιος γαλέα· ταύτης γὰρ οὔτε τὴν ὀσμὴν οὔτε τὸ εἶδος φέρει, ἀλλ᾽ εὐθὺς ἀπόλλυται. εἰ δὲ καὶ πρὸς τῶι φωλεῶι εὕροι, διασπαράσσει τοῦτον ἡ γαλέα.ʾ
αὕτη τῆς ἀντιπαθείας ἡ ἐνέργεια.

**B 300,10** /1 = Kelsos I, prooem. p. 2, 11 Dar. (CML I, 18)

ideoque multos ex sapientiae professoribus peritos eius (nämlich medicinae) fuisse accepimus: clarissimos vero ex is Pythagoran et Enpedoclen et Democritum.

**B 300,10** /2 = Tatianos 16, 17; 18, 6 Schw.
εἰσὶν μὲν οὖν καὶ νόσοι καὶ στάσεις τῆς ἐν ἡμῖν ὕλης· δαίμονες δὲ αἴτιοι τούτων, [οἷς] τὰς αἰτίας, ἐπειδὰν συμβαίνωσιν ἑαυτοῖς, προσγράφουσιν, ἐπιόντες ὁπόταν καταλαμβάνηι κάματος (ἔστι δὲ ὅτε καὶ αὐτοὶ χειμῶνι τῆς σφῶν ἀβελτερίας κραδαίνουσιν τὴν ἕξιν τοῦ σώματος)· οἳ λόγωι θεοῦ δυνάμεως πληττόμενοι δεδιότες ἀπίασιν, καὶ ὁ κάμνων θεραπεύεται. (17) περὶ γὰρ τῶν κατὰ τὸν Δημόκριτον ξυμπαθειῶν τε καὶ ἀντιπαθειῶν τί καὶ λέγειν ἔχομεν ἢ τοῦθ᾽ ὅτι κατὰ τὸν κοινὸν λόγον ἀβδηρολόγος ἐστὶν ὁ ἀπὸ τῶν ᾽Αβδήρων ἄνθρωπος;

**B 300,10** /3 = Cael. Aurel., Morb. ac. III, 14-16 Hydrophobie chron. IV, 1 (Elephantiasis)
veterum autem medicorum nullus istius passionis curationem ordinavit excepto Themisone atque ex philosophis Democrito, si vere eius de elephantiacis conscriptus dicitur liber.

**B 300,10** /4 = Anecd. Paris. (ed. Fuchs Rhein. Mus. 49, 1894; 557)
τῆς δὲ ἐλεφαντιάσεως τῶν μὲν παλαιῶν οὐδεὶς ἐμνήσθη ἰατρῶν, φιλοσόφων δὲ Δημόκριτος ἐν τῶι Περὶ ἐλεφαντιάσεως αὑτοῦ βιβλίωι.

**B 300,10** /5 = Oribas. XLV, 28, 1; CMG VI 2, 1; III, 184
τὸ γὰρ εἰς Δημόκριτον ἀναφερόμενον βιβλίον περὶ τοῦ νοσήματος (Elephantiasis) φανερῶς κατέψευσται.

**B 300,11** /1 = Excerpte im Vatic. gr. 299f. 304ff. (Rohde Kl. Schr. I, 383, ed. von M. Wellmann Berl. Sitz. Ber. 1908, 625ff.)
Δημοκράτους κεφαλαλγία, Δημοκρίτου περὶ ὀφθαλμῶν, Δημοκρίτου ᾽Αβδηρίτου περὶ ὀφθαλμῶν φλεγμονῆς, Δημόκριτος ̏ου πρὸς ·εῦμα ὀφθαλμοῦ, Δ̏ου περὶ

τριχιάσεως ὀφθαλμῶν, Δημόκριτος πρὸς ὑποσφάγματα ὀφθαλμῶν, Δημόκριτος περὶ χημώσεως, περὶ νεφελίων Δημόκριτος, πρὸς ὑπώπια καὶ πελιώματα, Δημόκριτος περὶ φλεγμονῆς γαργαρεῶνος, πρὸς ἔμετον στομάχου Δημόκριτος, σταλτικὸν ἐμέτου ᾿Αβδηρίτου.

**B 300,11** /2 = Ael. Promot. c. 26
πρὸς τὰ λοιμικὰ πάθη καὶ μολυβδώδη ἔχοντας τὴν χρόαν ... ἄλλο ἔστι δὴ τῶν Δημοκρίτου πρὸς τοὺς ὑπὸ ἀέρος ἑλώδους βεβλαμμένους.

**B 300,12** /1 = Tatianos, Oratio ad Graecos 17; p. 18, 15
ὥσπερ δὲ ὁ τῆι πόλει τῆς προσηγορίας αἴτιος (Abder.) φίλος ὤν, ὥς φασιν, ῾Ηρακλέους ὑπὸ τῶν Διομήδους ἵππων κατεβρώθη, τρόπωι τῶι αὐτῶι καὶ ὁ τὸν μάγον ᾿Οστάνην καυχώμενος ἐν ἡμέραι συντελείας πυρὸς αἰωνίου βορᾶι παραδοθήσεται ... πάθος οὐκ ἔστι δι᾿ ἀντιπαθείας ἀπολλύμενον οὐδὲ ὁ μεμηνὼς σκυτίδων ἐξαρτήμασι θεραπεύεται.

**B 300,12** /2 = Apuleius, Apologia 27
eos vero vulgo magos nominent, quasi facere etiam sciant quae sciant fieri, ut olim fuere Epimenides (3 A 6a) et Orpheus et Pythagoras et Ostanes.

**B 300,13** = Plinius, Natur. hist. XXX, 8-11
primus quod extet, ut equidem invenio, commentatus est de ea (magia) Osthanes Xerxen regem Persarum bello quod is Graeciae intulit comitatus ac velut semina artis portentosae sparsit obiter infecto quacumque commeaverat mundo. diligentiores paulo ante hunc ponunt Zoroastren, alium Proconnensium (Aristeas). quod certum est, hic maxime Osthanes ad rabiem, non aviditatem modo, scientiae eius Graecorum populos egit. quamquam animadverto summam litterarum claritatem gloriamque ex ea scientia antiquitus et paene semper petitam. (9) certe Pythagoras, Empedocles, Democritus, Plato ad hanc discendam navigavere exsiliis verius quam peregrinationibus susceptis, hanc reversi praedicavere, hanc in arcanis habuere. Democritus

Apollobechen Coptiten et Dardanum et Phoenicem inlustravit, voluminibus Dardani in sepulchrum eius petitis, suis vero ex disciplina eorum editis, quae recepta ab ullis hominum atque transiisse per memoriam aeque ac nihil in vita mirandum est (10) in tantum fides istis fasque omne deest adeo, ut qui cetera in viro probant haec opera eius esse infitientur. sed frustra. hunc enim maxime adfixisse animis eam dulcedinem constat. plenumque miraculi et hoc, pariter utrasque artis effloruisse, medicinam dico magicenque, eadem aetate illam Hippocrate hanc Democrito inlustrantibus circa Peloponnesiacum Graeciae bellum, quod gestum est a CCC urbis nostrae anno ... (11) non levem et Alexandri Magni temporibus auctoritatem addidit professioni secundus Osthanes comitatu eius exornatus planeque, quod nemo dubitet, orbem terrarum peragravit.

**B 300,13a** /1 = Galénos, De simpl. med. X, 1 (XII, 248 K.)
ἔνια μὲν γὰρ αὐτῶν (ἀκεα) ἀσελγῆ τέ ἐστι καὶ βδελυρά, τινὰ δὲ καὶ πρὸς τῶν νόμων ἀπηγορευμένα, περὶ ὧν οὐκ οἶδα, πῶς ἔγραψεν ὁ Ξενοκράτης, ἄνθρωπος οὐ πάλαι γεγονώς, ἀλλὰ κατὰ τοὺς πάππους ἡμῶν, τῆς Ῥωμαϊκῆς βασιλείας ἀπηγορευκυίας ἀνθρώπους ἐσθίειν, ἀλλ᾽ ἐκεῖνός γε ὡς αὐτὸς πεπειραμένος ἀξιοπίστως πάνυ γράφει, τίνα πάθη θεραπεύειν πέφυκεν ἐγκέφαλος ἐσθιόμενος ἢ σάρκες ἢ ἧπαρ ἀνθρώπου, τίνα δὲ τὰ τῆς κεφαλῆς ἢ κνήμης ἢ δακτύλων ὀστᾶ τὰ μὲν καυθέντα τὰ δ᾽ ἄκαυστα πινόμενα, τίνα δ᾽ αὐτὸ τὸ αἷμα.

**B 300,13a** /2 = Plinius, Natur. hidt. XXVIII, 5-7
nec pauci apud Graecos singulorum viscerum membrorumque etiam sapores dixere omnia persecuti ad resegmina unguium, quasi vero sanitas videri possit feram ex homine fieri morboque dignum in ipsa medicina, egregia, hercules, frustratione, si non prosit. adspici humana exta nefas habetur, quid mandi? quis ista invenit, Osthane? (6) tecum enim res erit eversor iuris humani monstrorumque artifex qui primus ea condidisti credo, ne vita oblivisceretur [tui]. qui invenit singula membra humana mandere? qua coniectura inductus? quam potest medicina ista originem habuisse? quis veneficia innocentiora fecit quam remedia? esto, barbari externique ritus

invenerant, etiamne Graeci suas fecere has artis? (7) extant commentationes Democriti ad aliud noxii homini ex capite ossa plus prodesse, ad alia amici et hospitis.

**B 300,13a** /3 = Filón z Byblu in Eusebios, Praeparatio evangelica I, 10, 53
(secundum Ζωροάστρης δὲ ὁ μάγος ἐν τῆι ἱερᾶι συνα-γωγῆι τῶν Περσικῶν - θεὸς κεφαλὴν ἔχων ἱέρακος) τὰ δ᾽ αὐτὰ καὶ ᾽Οστάνης φησὶ περὶ αὐτοῦ ἐν τῆι ἐπιγραφομένηι ᾽Οκτατεύχωι.

**B 300,15** = Seneca, Ep. 90, 32
'Democritus' inquit (Poseidonius) 'invenisse dicitur fornicem, ut lapidum curvatura paulatim inclinatorum medio saxo alligaretur'. hoc dicam falsum esse necesse est enim ante Democritum et pontes et portas fuisse, quarum fere summa curvantur. excidit porro vobis eundem Democritum invenisse, quemadmodum ebur molliretur, quemadmodum decoctus calculus in smaragdum converteretur, qua hodieque coctura inventi lapides [in] hoc utiles colorantur.

**B 300,16** = Syncell. I, 471 Dind.
Δημόκριτος ᾽Αβδηρίτης φυσικὸς φιλόσοφος ἤκμαζεν. ἐν Αἰγύπτωι μυηθεὶς ὑπὸ ᾽Οστάνου τοῦ Μήδου σταλέντος ἐν Αἰγύπτωι παρὰ τῶν τηνικαῦτα βασιλέων Περσῶν ἄρχειν τῶν ἐν Αἰγύπτωι ἱερῶν ἐν τῶι ἱερῶι τῆς Μέμφεως σὺν ἄλλοις ἱερεῦσι καὶ φιλοσόφοις, ἐν οἷς ἦν καὶ Μαρία τις ῾Εβραία σοφὴ καὶ Παμμένης, συνέγραψε περὶ χρυσοῦ καὶ ἀργύρου καὶ λίθων καὶ πορφύρας λοξῶς, ὁμοίως δὲ καὶ Μαρία. ἀλλ᾽ οὗτοι μὲν Δημόκριτος καὶ Μαρία ἐπηινέθησαν παρὰ ᾽Οστάνου ὡς πολλοῖς καὶ σοφοῖς αἰνίγμασι κρύψαντες τὴν τέχνην, Παμμένους δὲ κατέγνωσαν ἀφθόνως γράψαντος.

**B 300,17** = Pseudo-Synésios, Ad Dioscorum comment in Democr. (Berthelot Coll. d. Alchim. I, 56, 7)
Δημόκριτος ἐλθὼν ἀπὸ ᾽Αβδήρων φυσικὸς ὢν καὶ πάντα τὰ φυσικὰ ἐρευνήσας καὶ συγγραψάμενος τὰ ὄντα κατὰ φύσιν. ῎Αβδηρα δέ ἐστι πόλις Θράικης· ἐγένετο δὲ

ἀνὴρ λογιώτατος, ὃς ἐλθὼν ἐν Αἰγύπτωι ἐμυσταγωγήθη παρὰ τοῦ μεγάλου Ὀστάνου ἐν τῶι ἱερῶι τῆς Μέμφεως σὺν καὶ πᾶσι τοῖς ἱερεῦσιν Αἰγύπτου. ἐκ τούτου λαβὼν ἀφορμὰς συνεγράψατο βίβλους τέσσαρας βαφικάς, περὶ χρυσοῦ καὶ ἀργύρου καὶ λίθων καὶ πορφύρας. λέγω δή, τὰς ἀφορμὰς λαβὼν συνεγράψατο παρὰ τοῦ μεγάλου Ὀστάνου. ἐκεῖνος γὰρ ἦν πρῶτος ὁ γράψας ὅτι 'ἡ φύσις τῆι φύσει τέρπεται καὶ ἡ φύσις τὴν φύσιν κρατεῖ καὶ ἡ φύσις τὴν φύσιν νικᾶι'...

**B 300,18** /1 = Δημοκρίτου Φυσικὰ καὶ μυστικά in Berthelots Coll. d. Alchim. I; p. 41n.; p. 43, 14 Probe

ὡς οὖν ἦμεν ἐν τῶι ναῶι ἐξ αὐτομάτου στήλη τις (ἢ κιόνιον) διαρρήγνυται, ἣν ἡμεῖς ἑωρῶμεν ἔνδον οὐδὲν ἔχουσαν. ὁ δὲ Ὀστάνης ἔφασκεν ἐν αὐτῆι τὰς πατρώιας τεθησαυρίσθαι βίβλους καὶ προκομίσας εἰς μέσον ἤγαγεν· ἐγκύψαντες δὲ ἐθαυμάζομεν, ὅτι μηδὲν ἦμεν παραλείψαντες, πλὴν τοῦτον τὸν λόγον εὕρομεν ἐκεῖ πάνυ χρήσιμον·

'ἡ φύσις τὴν φύσιν' ...

**B 300,18** /2 = Δημοκρίτου Φυσικὰ καὶ μυστικά in Berthelots Coll. d. Alchim. I; p. 53, 16

ἰδοὺ μὲν ὃ ἦν, ὦ Λεύκιππε, περὶ τουτέων τῶν τεχνῶν τῶν Αἰγυπτίων [ἐν ταῖς τῶν] προφητέων Περσικαῖς βίβλοις, ἔγραψα τῆι κοινῆι διαλέκτωι, πρὸς ἣν δὴ μάλιστα ἁρμόζονται· ἡ δὲ βίβλος οὐκ ἔστι κοινή. αἰνίγματα γὰρ ἔχει μυστικὰ παλαιά τε καὶ ὠγύγια (?) ἅπερ οἱ πρόγονοι καὶ θεῖοι Αἰγύπτου βασιλεῖς τοῖς Φοίνιξι ἀνέθεντο. ἐγὼ δὲ ὁ φίλος σου ὠγυγίοις (?) αἰνίγμασιν χρήσομαι ἃ δὴ γεγράφαταί μοι τοῖς Αἰγυπτίων παισίν. ἀλλὰ σοί, ἰατρέ, καὶ δι' ἑρμηνέως πάντα οὐ παύσομαι ἀναφανδὸν ἐνεξηγούμενος. περιέχει δὲ ἡ συγγραφὴ λεύκωσίν τε καὶ ξάνθωσιν ἢ χαλκολίθου τε μαλάξιας καὶ ἑψήσιας καὶ ἕως βαφικῆς, ὕστερον δὲ ὅσα πάλιν παράδοξα γίγνεται ἐξ αὐτοῦ τοῦ χαλκοῦ καὶ κινναβάρεως, ἔχε ποιῆσαι χρυσὸν [ἐκ

τῆς] καδμίας τε καὶ ἄλλων εἰδῶν, καὶ καύσεων πάλιν [καὶ] ἐπιπλοκῶν ὅσα παράδοξα γίγνεται.

**B 300,18** /3 = Zósimos, (ex Democrito) Berthelot (II, 122)

᾽δέξαι λίθον τὸν οὐ λίθον, τὸν ἄτιμον καὶ πολύτιμον, τὸν πολύμορφον καὶ ἄμορφον, τὸν ἄγνωστον καὶ πᾶσι γνωστόν, τὸν πολυώνυμον καὶ ἀνώνυμον, τὸν ἀφροσέληνον λέγω.᾽

**B 300,18** /4 = Zósimos, cod. Venet. Marc. 299, fol. 145v (II, 159, 3 Berthelot)

Βερτηελοτ καὶ ταῦτα μὲν οὕτως πρὸς τοὺς Αἰγυπτίους προφήτας ὁ Δημόκριτος γράφει·

᾽ἐγὼ δὲ πρὸς σέ, ὦ Φιλάρετε, πρὸς ὃν ἡ δύναμις, τὴν κατὰ πλάτος σοι γράφω τέχνην.᾽

**B 300,18** /5 = Zósimos, III, 448, 19 Berthelot

ὁ Δημόκριτος φησὶ πρὸς τὸν βασιλέα·

᾽εἰ μὴ τὰς οὐσίας καταμάθηις καὶ τὰς οὐσίας κεράσηις καὶ τὰ εἴδη νοήσηις καὶ τὰ γένη συνάψηις τοῖς γένεσιν, εἰς μάτην τῶι κόπωι ἐπεχείρησας, ὦ βασιλεῦ᾽.

**B 300,19** = Papyr. Londin. 121 c. 5b v. 168 (Kenyon Greek Pap. in the Br. Mus. (I, 1893) S. 89. Pap. Graec. mag. ed. Preisendanz II, 7)

Δημοκρίτου παίγνια

α. τὰ χαλκᾶ χρυσᾶ ποιῆσαι φαίνεσθαι· θεῖον ἄπυρον μετὰ τῆς κρητηρίας μείξας ἔκμασσε.

β. ὠιὸν ὅμοιον μήλωι γενέσθαι· ζέσας τὸ ὠιὸν χρῖε κρόκωι μείξας μετ᾽ οἴνου.

γ. μάγειρον μὴ δύνασθαι τὴν πυρὰν ἀνάψαι· βοτάνην ἀείζωον θὲς αὐτοῦ εἰς τὴν ἑστίαν.

δ. φαγόντα σκόρδα μὴ ὄζειν· ·ίζας σεύτλου ὀπτήσας φάγε.

ε. γραῦν μήτε πολλὰ λαλεῖν μήτε πολλὰ πίνειν· πίτυν κόψας βάλε αὐτῆς εἰς τὸ κρᾶμα.

ς. μονομάχας (σο) ἐζωγραφημένους μάχεσθαι· ὑποκάτω αὐτῶν κάπνισον λαγοῦ κεφαλήν.

ζ. ψυχρὰ τρώγοντα κατακαίεσθαι· σκίλλαν εἰς ὕδωρ χλιαρὸν βρέξας δὸς αὐτῶι νίψασθαι· λύσις ἐλαίωι.

θ. πολλὰ πίνοντα (καὶ) μὴ μεθύειν· χοιραῖον πνεύμονα ὀπτήσας φάγε.

ι. ὁδοιποροῦντα μὴ διψᾶν· ὠιὸν [ὠμὸν] [εἰς] οἶνον ἀνακόψας ·όφα.

ια. πολλὰ βινεῖν δύνασθαι· στροβίλια πεντήκοντα μετὰ δύο κυάθων γλυκέος καὶ [κ] κόκκους πεπέρεως τρίψας πίε.

ιβ. στύειν, ὅτε θέλεις· πέπερι μετὰ μέλιτος τρίψας χρῖέ σου τὸ π[έλ]μα.

**B 300,20** = Papyr. Magic. Lugd. 384 (Dieterich Jahrb. f. kl. Ph. Suppl. XVI, 813. Preisendanz a. O. S. 81)

Δημοκρίτου Σφαῖρα.

Προγνωστικὸν ζωῆς καὶ θανάτου. γνῶθι πρὸς τίνα σελήνην ἀνέπεσε νοσῶν καὶ τὸ ὄνομα τὸ ἐκ γενετῆς συνψήφισον τῆι σελήνηι καὶ βλέπε, πόσαι τριακάδες γίνονται, καὶ τὰ περιλειπόμενα τοῦ ἀριθμοῦ κατανόησον εἰς τὴν ‘σφαῖραν’ καὶ ἂν ἦι ἄνω ἡ ψῆφος, ζήσει, ἐὰν δὲ κάτω, τελευτήσει.

**B 302** = Corpus Parisinum Profanum (Cod. Paris. gr. 1168 nach Elter):

166 ταῖς τῶν καιρῶν μεταβολαῖς καὶ οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.

168 νεκρὸν ἰατρεύειν καὶ γέροντα νουθετεῖν ταὐτόν ἐστι (cfr. Gnomica homoeom. ed. Elter I; p. 41, 68) 169 τὸν σπουδαῖον φίλον πρὸς μὲν τὰς εὐφροσύνας κληθέντα δεῖ παρεῖναι, πρὸς δὲ τὰς περιστάσεις αὐτόκλητον δεῖ συμπαρεῖναι

170 τὸ μὴ δύνασθαι βοηθεῖν τοῖς φίλοις ἀπορίας, τὸ δὲ μὴ βούλεσθαι κακίας τεκμήριον. 171 οἱ ἀληθινοὶ φίλοι καὶ τὰς φιλίας ἡδείας καὶ τὰς συμφορὰς ἐλαφροτέρας ποιοῦσιν ὧν μὲν συναπολαύοντες ὧν δὲ μεταλαμβάνοντες.

174 ποθητὸς εἶναι μᾶλλον ἢ φοβερὸς κατὰ τὸν βίον προαιροῦ· ὃν γὰρ πάντες φοβοῦνται, πάντας φοβεῖται.

175 τὰς μὲν γραμμὰς ἀσφαλεστέρας, τὰς δὲ πράξεις λαμπροτέρας ἔχειν δεῖ (= Elter Homoeom. n. 142).

177 τὸν ἄρχοντα δεῖ ἔχειν πρὸς μὲν τοὺς καιροὺς λογισμόν, πρὸς δὲ τοὺς ἐναντίους τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν. 178 δεῖ δὲ τὸν ἑτέρων μέλλοντα ἄρξειν αὐτὸν ἑαυτοῦ πρῶτον ἄρχειν.

181 ἐν μὲν τοῖς ἐσόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται (= Homoeom. n. 19a)

184 διηνεκὴς ἐπὶ πᾶσιν ἀνθρώποις ἡ τοῦ πλούτου ἐπιθυμία. μὴ κτηθεῖσα μὲν γὰρ τρύχει, κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν, ἀποκτηθεῖσα δὲ ταῖς λύπαις.

185 θεοῦ ἄξιόν σε ποιήσει τὸ μηδὲν ἀνάξιον πράττειν.

186 θεῶι ὅμοιον ἔχει ὁ ἄνθρωπος τὸ εὖ ποιεῖν, ὅταν τὸ εὖ ποιεῖν μὴ καπηλεύηται, καὶ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν

187 καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ (= Homoeom. n. 124 189) ἡ μὲν μάχαιρα τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους (= Gnom. hom. I; p. 41)

191 ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τὸν ζηλοῦντα μὴ βλάπτουσα τὸν ζηλούμενον.

192 μικρὰ διδόναι βούλου μᾶλλον ἢ μεγάλα ἐγγυᾶν· ὅ τε γὰρ κίνδυνος ἄπεστι καὶ ὁ λαβὼν ἔργου, οὐ λόγου χρείαν ἔχει. 193 ἐπιτηδειότατος πρὸς φιλίαν ὁ πλεῖστα ἀδικεῖσθαι δυνάμενος καὶ φέρειν.

196 τάχος καὶ ἔπειξις ἀπέστω τοῦ ἐσθίειν· κυνῶδες γὰρ τοῦτο καὶ θηρίωι μᾶλλον ἢ ἀνθρώπωι πρέπον. 197 ὥσπερ οὖν ἄλειμμα οὐδὲ τὸ ἡδὺ καλὸν οὐδὲ τὸ μακρόν, ἀλλὰ τὸ ὑγιαῖνον, οὕτω καὶ τροφὴ οὐχ ἡ ἡδεῖα καλὴ οὐδ᾽ ἡ πολλή, ἀλλ᾽ ἡ ὑγιεινή. 198 ὁ

ἀρετὴν τιμῶν πρώτην ἀλήθειαν τιμᾶι καὶ μάλιστα ὡς ἀγαθοῦ παντὸς ἡγεμόνα οὖσαν.

875 Δημόκριτος τὸν φθόνον εἶπεν ἕλκος εἶναι ἀληθείας.

745 μηδέποτε μακαρίσηις ἄνθρωπον ἐπὶ πλούτωι καὶ δόξηι· πάντα γὰρ τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐλάττονι πίστει τῶν ἀνέμων δέδεται.

**B 302a** = Seneca, Epist. 7, 10

Democritus. ait: unus mihi pro populo est et populus pro uno.

**B 304** = Gnomol. Vaticanum 743 (Wien. Stud. 10, 1888, 232) n. 56

ὁ αὐτὸς [Δημόκριτος] εἶπεν: 'ἓν μόνον οἶδα, ὅτι οὐκ οἶδα.'

**B 306** = Masala (Maschallah al–Misri im Vatic. gr. 1056, S. Catal. codd. astrol. gr. I (Brux. 1898) p. 82)

ὁ Δημόκριτος βιβλία ιδ, ἤγουν Περὶ γενεθλίων ς, Περὶ ἐρωτήσεων δ, Περὶ τῶν συνόδων δύο, Περὶ λογισμοῦ α καὶ Περὶ τῶν κλιμάτων α.

**B 307** = Pseudo-Ribastus in Aphorism. Hippocr., ed. Io. Guinterius Andernacus Paris. 1533f. 5 v

deinde dicimus quod nemo tale opus potuit facere quale Hippocras, quem philosophi amicum naturae dixerunt. tentavit quidem Democrit. tale facere, non tamen ut Hippocras perfecit.

**B 308** = Cod. Paris. 1630

Δημοκρίτου φιλοσόφου τοὐναντίον. Παντοίην βιότοιο ... = Anth. Pal. IX 360 Μητροδώρου.

**B 309** = Albertus Magnus, Ethica I, 1, 3 (Vol. IV; ed. Jammy p. 4)

hoc est etiam quod dicit D., quod homo sapiens est mensura omnium quae sunt (Protagoras B 1). per sensum enim est mensura sensibilium et per intellectum est mensura intelligibilium ensuratur enim unumquodque sui generis primo et simplicissimo primum autem et simplicissimum

uniuscuiusque generis virtus est. virtus ipsius igitur est principium cognoscendi unamquamque rem cognitio igitur omnis rei perficitur in cognitione virtutis eius.